ἐπιτελέν. συντέτακται γὰρ τὸ χέριον ἕνεκα τῶ βελτίονος. ὡς ἐν μὲν τῷ κόσμῳ τὸ ἀειπαθὲς πᾶν μέρος, ἕνεκα τῶ ἀεικινάτω· ἐν δὲ τᾷ συζυγίᾳ τῶν ζώων, τὸ θήλυ ἕνεκα τοῦ ἄῤῥενος. τὸ μὲν γὰρ σπείρει τὰν ψυχὰν γεννῶν. τὸ δὲ μόνον τὰν ὕλαν παρέχεται τῷ γεννωμένῳ. ἐν δέ γε τᾷ ψυχᾷ τὸ ἄλογον τῶ λογικῶ. συντέτακται γὰρ καὶ ὁ θυμὸς καὶ ἁ ἐπιθυμία ποτὶ τὸ πρᾶτον μέρος τᾶς ψυχᾶς· τὸ μὲν ὥσπερ δορυφόρος τις καὶ σωματοφύλαξ, τὸ δ' ὡς οἰκονόμος καὶ οἰκουρὸς τῶν ἀναγκαίων. ὁ δὲ νόος ἐπ' ἄκρας τῆς κορυφῆς τοῦ σώματος ἱδρυμένος, καὶ ἔχων περιαυγέα καὶ διαυγέα τὰν ἔποψιν, μαστεύεται τὰν τῶν ἐόντων φρόνασιν· καὶ τοῦτ' ἔργον ἐντὶ αὐτῷ κατὰ φύσιν, τὸ μαστευσάμενον, καὶ κτησάμενον, ἀκολουθῆσαι τοῖς βελτίοσιν αὐτοῦ, καὶ τιμιωτάτοις. ἀρχὰ γὰρ καὶ αἰτία καὶ κανὼν ἐντὶ τᾶς ἀνθρωπίνας εὐδαιμοσύνας, ἁ τῶν θείων καὶ τιμιωτάτων ἐπίγνωσις.

perficere. Quod enim deterius est, præstantioris causâ cœpit existere: ut in mundo semper patiens pars propter eam, quæ semper movetur: in animalibus femina propter marem (hic enim animum gignit, illa duntaxat materiam gignendo suppeditat) in animo ratione carens pars propter rationis compotem. Nam & iracundia & cupiditas ad primam animi partem refertur, illa tanquam satelles & latro, hæc curatoris instar & custodis domestici. At mens in summo corporis vertice collocata, in pellucida undique specula eorum, quæ sunt, scientiam investigat, & hoc à natura opus habet, ut post investigationem & acquisitionem, melioribus ac præstantioribus utatur. Etenim rerum divinarum ac præstantissimarum cognitio, beatitudinis humanæ principium, causa, & norma est.

DE

DE ACTIONIBUS ET HABITIBUS in Genere, tanquam de Materia & Forma.

METOPI PYTHAGOREI,

lib. de Virtute.

ἈΡΕΤΑ᾽ ἐντὶ ἀνθρώπω τελειότας φύσιος ἀνθρώπω. ἕκαστον γὰρ τῶν ἐόντων, τέλειον καὶ ἄκρον γίνεται, κατὰ τὰν οἰκείαν τᾶς ἀρετᾶς φύσιν. ἵππω τε γὰρ ἀρετὰ ἐντὶ, ἁ ἐς τὸ ἄκρον ἄγοισα τὰν τῶ ἵππω φύσιν. καὶ ἐπὶ τῶν μερέων ἢ τῶν καθ᾽ ἕκαστον, ὁ αὐτὸς λόγος. ὀμμάτων τε γὰρ ἀρετὰ ὀξυδορκία. αὐτὰ δ᾽ ἀκρότας ἐντὶ τᾶς ὀφθαλμῶν φύσιος. καὶ ὐάτων ἀρετὰ, ὀξυακοΐα. αὐτὰ δ᾽ ἀκρότας ἐντὶ τᾶς ὐάτων φύσιος. καὶ ποδῶν ἀρετὰ, ποδωκεία. καὶ αὐτὰ ἢ ἀκρότας ἐντὶ τῆς ποδῶν φύσεως. ἀνάγκη δ᾽ ἀρετὰν πᾶσαν τρία ταῦτ᾽ ἔχειν· λόγον καὶ δύναμιν καὶ προαίρεσιν· λόγον μὲν, ᾧ κρίνει καὶ θεωρεῖ· δύναμιν ἢ, ᾧ ἀντέχει καὶ κρατεῖ· προαίρεσιν δὲ, ᾧ στέργει καὶ ἀγαπᾷ. Τὸ μὲν οὖν κρίνεν καὶ θεωρὲν, ἐντὶ τῶ διανοητικῶ μέρεος τᾶς ψυχᾶς· τὸ δ᾽ ἀντέχεν καὶ

HOMINIS virtus est hominis naturæ perfectio. Etenim per propriam virtutis naturam perfectum quicque ac supremum redditur. Nam & equi virtus est ea, quæ naturam equi ad supremum perducit, & in partibus singulis eodem se modo res habet. Nam & oculorum virtus est acris visus, idémque supremum in oculorum natura: & aurium virtus, acris auditus, idémque supremum in aurium natura: & pedum virtus, velocitas, eadémque supremum in pedum natura. Sunt autem virtuti hæc tria necessaria, ratio, facultas, & consilium. Ratio judicat & contemplatur: facultas resistit & moderatur: consilium amat & amplectitur. Jam judicare & contemplari, intelligentis animi partis est proprium: resistere

Digitized by Google

καὶ κρατὲν, ἴδιον τῶ ἀλόγω μέρεος τᾶς [1.] ψυχᾶς. συνέστακε γὰρ προαίρεσις ἐκ διανοίας καὶ ὀρέξιος. ἁ μὲν ὦν διάνοια, ἀπὸ τῶ λογικῶ μέρεος ἔντι τᾷ ψυχᾷ. ἁ δὲ ὄρεξις ἀπὸ τῶ ἀλόγω. Τὸ δὲ πλῆθος τᾶν ἀρετᾶν ἁπασᾶν ἐκ τῶν μερέων τᾶς ψυχᾶς κατίδοιτο ἄντις, ὡσαύτως δὲ καὶ τὰν γένεσιν, καὶ τὰν σύστασιν τᾶς ἀρετᾶς. ἐπεὶ γὰρ τῶν μερέων τᾶς ψυχᾶς δύο τὰ πρῶτα, τὸ μὲν λογιστικὸν, τὸ δ' ἄλογον. καὶ λογιστικὸν μὲν ᾧ κρίνομες καὶ θεωρῦμες· ἄλογον δὲ, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα. ταῦτα δὲ ἀλλήλοις ἢ συμφωνοῦντι, ἢ διαφωνοῦντι. ἁ δὲ μάχα καὶ διαφωνία γίνεται αὐτοῖς, δι' ὑπερβολὰν καὶ ἔλλειψιν. φανερὸν ὦν, ὅκκα μὲν τὸ λογιστικὸν μέρος τᾶς ψυχᾶς ἐγκρατῇ τῶ ἀλόγω, γίνεται καρτερία καὶ ἐγκράτεια· ὅκκα δὲ τὸ μὲν ἡγῆται, τόδ' ἕπηται, καὶ ἀμφότερα συμφωνεῖ ἀλλάλοις, τὸ τηνικαῦτα ἀρετά. ἁ μὲν ὦν καρτερία καὶ ἐγκράτεια, γίνεται μετὰ λύπας· ἀλλ' ἁ μὲν καρτερία ἐν τῷ ἀντέχεν πόνῳ· ἁ δ' ἐγκράτεια, ἐν τῷ ἀντέχεν ἡδονᾷ. ἁ δ' ἀκρατία καὶ μαλακία, ἐν τῷ μὴ ἀντέχεν, μηδὲ κρατέν. καὶ διὰ τοῦτο συμβαίνει φεύγειν τἀγαθὰ τὼς ἀνθρώπως διὰ λύπαν, ἀποβαλὲν δ' αὐτὰ διὰ ἡδονήν. καί τοι ἔπαινοι δὲ καὶ ψόγοι, καὶ τὰ καλὰ πάντα τὰ περὶ τὸν ἄνθρωπον, γίνεται ἐν τούτοις τοῖς μέρεσι τᾶς ψυχᾶς.

& moderari, ratione carentis: amare & amplecti, utriusque, tam quæ ratione caret, quàm quæ pollet. Cùm enim ex intelligentia & appetitu constet consilium, illa ad rationis compotem animi partem, hic ad expertem refertur. Jam virtutum omnium numerum, nec non virtutis ortum & constitutionem ex animi partibus licet cognoscere. Etenim animi partes primæ sunt duæ, altera compos rationis, expers altera. Illâ judicamus & contemplamur, hâc ferimur & appetimus. Hæ porro vel consentiunt inter se, vel dissentiunt. quæ quidem pugna ac discordia propter nimium vel parum existit. Cùm igitur rationis compos pars moderatur expertem, tolerantia gignitur & continentia. cum altera imperat, paret altera, & inter se ambæ consentiunt, virtus nascitur. Ac tolerantia quidem & continentia cum dolore gignuntur, dum labori illa, voluptati hæc resistit. Incontinentia verò ac mollities nec resistit nec moderatur. Quo fit, ut bona propter dolorem fugiamus, propter voluptatem amittamus. Quid quòd laudationes, vituperia, cunctáque humana bona in his animi partibus cernuntur.

[1.] μέρεος τᾶς ψυχᾶς.] *Lacunam hîc supplevimus:* τὸ δὲ στέργον καὶ ἀγαπᾶν ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῶ ἀλόγῳ, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς.

καὶ

καὶ καθόλω μὲν ἁ τᾶς ἀρετᾶς σύστασις γίνεται τοῦτον τὸν τρόπον· τὰ δὲ εἰδέα αὐτᾶς καὶ τὰ μέρεα οὕτως ἄντις ἀθρησάτω. ἐπεὶ γὰρ τᾶς ψυχᾶς δύο μέρεα, τὸ μὲν λογιστικὸν, τὸ δὲ ἄλογον· [2.] τὸ μὲν θυμοειδὲς, τόδ' ἐπιθυματικόν. καὶ τὸ μὲν λογιστικὸν ἔντι, ᾧ κρίνομες καὶ θεωροῦμες· τὸ δ' ἄλογον, ᾧ ὁρμῶμες καὶ ὀρεγόμεθα. καὶ τούτου τὸ μὲν οἷον ἀμυντικὸν, καὶ ὑπερμαχατικὸν ποττοὺς πλάσιον θυμοειδὲς ὀνυμάζεται. τόδ' οἷον ὀρεκτικὸν καὶ ποθητικὸν τᾶς οἰκείας τῶ σώματος συστάσιος, ἐπιθυματικόν. φανερὸν ὡς κατὰ λόγον τοῖς μέρεσι τούτοις τᾶς ψυχᾶς, καὶ τὸ πλᾶθος τᾶν ἀρετᾶν ἀκολούθακεν, καὶ ταὶ διαφοραὶ καὶ ἰδιότατες αὐτῶν.

Et hoc quidem pacto virtus in universum constituitur: species autem ejus & partes hoc modo sunt considerandæ. Posteaquam duæ sunt animi partes, altera ratione prædita, carens altera, quæ porro vel iracundia, vel cupiditas dicitur: & rationis compos quidem est, quâ judicamus & contemplamur: expers autem, quâ ferimur & appetimus: hujus porro quâ parte tanquam ulciscimur nos ac defendimus, vocatur iracundia: quâ propriam corporis constitutionem tanquam appetimus ac desideramus, cupiditas: efficitur, ex his animi partibus etiam virtutum numerum, discrimen, ac proprietatem pro portione consequi.

[2.] τὸ μὲν θυμοειδὲς.] *Manifestè hîc desunt quædam sic supplenda:* τὸ δὲ ἄλογον τὸ μὲν θυμοειδὲς, *&c.*

CLINIÆ PYTHAGOREI.

ΠΑΣΑ μὲν ὦν ἀρετὰ τελεῦται, καθάπερ ἐν ἀρχᾷ διώρισται, ἐκ λόγου καὶ προαιρέσεως, καὶ δυνάμεως. τοῦτο δὲ καθ' ἑαυτὸ ἕκαστον, οὐκ ἀρετᾶς

ET omnis quidem virtus, ut initio definitum est, ratione, consilio, ac facultate perficitur: horum autem singula non virtutis

μέρος

μέρ☉ ἐνπ, ἀλλ' ἄπον ἀρετᾶς. ὅσοι μὲν ἓν ἔχουσι τὸ νοατικὸν καὶ γνωστικὸν μέρ☉ αὐτᾶς, δεινοί τε καὶ συνετοὶ [1.] ὀνυμαίνονται. ὅσοι δὲ τὸ [2.] ἠθικόν τε καὶ σωφρονιστικόν, χρήσιμοί τε καὶ ἐπιεικέες. Ὁπόταν δ' ἐκ τᾶς αἰτίας [3.] ἀναρριπτοθείσας ἓν, ἀδικεῖν πέφυκεν ἄνθρωπ☉. αὗται δ' τρεῖς συγχάνοντ· φιλαδονία μὲν ἐν ταῖς ἀπολαύσεσι, τῖς διὰ σώμα☉· πλεονεξία δ', ἐν τῷ κερδαίνειν· φιλοδοξία δ', ἐν τῷ καθυπερέχειν τε καὶ ἴσων τε καὶ ὁμοίων. δεῖ τοιαῦτ' ἐν γνωρίζειν, ὅτι τούτοις ἀνυποθέμνοις οἷόν τέ ἐστιν, ἃ μὲν φόβον [4.] παρασκευάζοντι τοῖς ἀνθρώποις, ἃ δ' αἰσχύναν, ἃ δ' καὶ ἐπιθυμίαν. φόβον [5.] μὲν δὲ τῶν νόμων, αἰσχύναν δ' τῶν θεῶν, ἐπιθυμίαν δ' τῶν λόγων. διδάσκειν δ' δεῖ τοὺ νέους ἐξ ἀρχᾶς πάντε θεῶν τιμὰν, καὶ πὰν τῶν νόμων. ἐκ τῶν δ' γὰ φανερὸν ἂν εἴη, ὅτι πᾶν ἔργον ἀνθρώπινον, καὶ βί☉, ὁσιότατός τε, καὶ δικαιοσύνας μεδέξει [6.] ἅμ' ὀρθοπλοιεῖ.

partes, sed causæ sunt. Itaque qui intelligente atque cognoscente hujus parte valent, vehementes ac prudentes dicuntur: qui impetuosâ & appetente, utiles & commodi. Quoniam verò non sine causis exuscitatis injustè solent agere, hæ autem tres sunt, intemperantia in corporis voluptatibus, avaritia in lucrando, ambitio in æqualibus antecellendis: sciendum est, his opponi posse & quæ metum, & quæ pudorem, & quæ cupiditatem pariant: metum propter legem, pudorem propter Deum, cupiditatem propter sermonem. Quocirca sunt initio juvenes & deorum & legum honorem docendi. Sic etenim omne factum humanum, totáque vita, si non desit successus, sanctimoniæ pietatísque particeps erit.

[1.] ὀνυμαίνονται.] *Corruptissimè prius legebatur,* ὑμάνονται.
[2.] ἠθικόν τε.] *Legere malo,* ἠτικόν τε.
[3.] ἀναρριπτοθείσας ἓν, ἀδικεῖν πέφυκεν.] *Gesnerus aliter habet,* ἀναιρεῖν, δι' ἃς ἀδικεῖν πέφυκεν.
[4.] παρασκευάζοντα.] *Gesnerus legit quoque* ὑπαρασκευάζοντα.
[5.] φόβον μὲν δὲ τῶν νόμων.] *Gesnerus aliter legit,* διὰ τὸν νόμον, διὰ τὸν τοῦ θεῖν. διὰ τὸν λόγον.
[6.] ἅμ' ὀρθοπλοεῖ.] *Melius,* ἀπ' ὀρθοπλοῆ.

Digitized by Google

THEAGIS PYTHAGORICI,

libro de Virtutibus.

ΑΡΧΑΙ τᾶς συμπάσας ἀρετᾶς, τρεῖς· γνῶσις, καὶ δύναμις, καὶ προαίρεσις. καὶ ἔστιν ἁ μὲν γνῶσις, ᾇ θεωρῦμεν καὶ κρίνομεν τὰ πράγματα. ἁ δὲ δύναμις, οἷ ἀλκά τις τοῦ σκάνεος, ᾇ ὑφιστάμεθα, καὶ ἐμμένομεν τοῖς πράγμασιν. ἁ δὲ προαίρεσις, οἷ χεῖρες ψυχᾶς τινες, αἷς ὁρμῶμεν καὶ ἀντιλαζύμεθα τῶν πραγμάτων. ἔχει δὲ καὶ ὁ τᾶς ψυχᾶς διάκοσμος, οὕτως. τὸ μὲν γάρ τι αὐτᾶς ἐστι λογισμὸς, τὸ δὲ θύμωσις, τὸ δ' ἐπιθυμία. λογισμὸς μὲν οὖν ὁ κρατέων τᾶς γνώσιος. θυμὸς δὲ, ὁ κρατέων τῶ μένεος. ἐπιθυμία δὲ, ἡ κρατοῦσα τοῦ ἐπιθυμητικοῦ ἀδεῶς. ὅκα οὖν ἐς τὸ ἓν τὰ τρία ταῦτα μολῇ, μίαν ἐπιδεξάμενα συναρμογὰν, τόκα δὲ γίνεται ἀρετὰ, καὶ ὁμολογία ἐν τᾷ ψυχᾷ. ὅκα δὲ στασιάζοντα καὶ ἀπ' ἀλλήλων ἀπέσπασται, τόκα δὲ γίνεται κακία καὶ ἀναρμοστία ἐν τᾷ ψυχᾷ. καὶ ὅκα μὲν ὁ λογισμὸς ἐπικρατέῃ τῶν ἀλόγων μερῶν τᾶς ψυχᾶς, τόκα δὲ γίνεται καρτερία καὶ ἐγκράτεια. καρτερία μὲν, ἐν τῇ κατοχῇ τῶν πόνων· ἐγκράτεια δὲ, ἐν τᾷ κατοχᾷ τῶν ἡδέων. ὅκα δὲ τὰ ἄλογα μέρεα τῆς ψυχῆς ἐπικρατεῖ τοῦ λογισμοῦ, τόκα

VIRTUTIS omnis causæ sunt tres, cognitio, facultas, & consilium. Cognitio est, quâ res contemplamur ac judicamus. facultas tanquam robur est causæ, quo ferimus, & in rebus permanemus. consilium instar manuum est animi quibus ferimur, & res apprehendimus. Animi quoque constitutio sic se habet, ut una sit ejus pars ratio, altera iracundia, tertia cupiditas. Ratio cognitioni, ira robori, cupiditas appetitui præest. Cum igitur hæc tria unâ compage in unum rediguntur, tum virtus in animo gignitur & concordia: cùm per seditionem inter se divelluntur, vitium oritur atque discordia. Jam cùm ratio partes animi ratione carentes moderatur, tolerantia gignitur & continentia, dum labores illa, voluptates hæc moderatur: cùm ratione carentes moderantur rationem,

Digitized by Google

τόκα δὲ γίνεται μαλακία καὶ ἀκρατία. μαλακία μὲν ἐν τῷ φεύγειν τοὺς πόνους, ἀκρατία δὲ ἐν τῷ νικᾶσθαι ὑπὸ τῶν ἡδέων. ὅκα δὲ τὸ μὲν κρεῖσσον ἄρχη μέρος τᾶς ψυχᾶς, τὸ δὲ κέρηον ἄρχηται, καὶ τὸ μὲν ἡγῆται, τὸ δ' ἕπηται, ἀμφότερα δὲ συνευδοκῆται καὶ συνομολογῆται ἀλλήλοις, τόκα δὲ γίνεται ἀρετὰ καὶ παναγαθία, περὶ ὅλαν τὰν ψυχάν. καὶ ὅκα μὲν τὸ ἐπιθυμητικὸν ἕπηται μέρος τῆς ψυχῆς τῷ λογιστικῷ, γίνεται σωφροσύνα· ὅκα δὲ τὸ θυμοειδὲς, ἀνδρειότης· ὅκα δὲ τὰ μέρεα πάντα, δικαιότας. αὕτα γάρ ἐστιν ἡ διείργουσα τάς τε κακίας πάσας τῆς ψυχῆς, καὶ τὰς ἀρετὰς ἀπ' ἀλλήλων. καὶ ἔστιν ἁ δικαιότας, σύνταγμά τι τᾶς ἁρμογᾶς τῶν μερέων τᾶς ψυχᾶς καὶ ἀρετὰ τελεία καὶ πανυπερτάτα. πάντα γὰρ ἐν ταύτᾳ. τὰ δ' ἀλλ' ἀγαθὰ τᾶς ψυχᾶς, οὐκ ἄτερθε ταύτας· διόπερ καὶ ἐν θεοῖς μέγα κράτος ἔχει ἁ δικαιότας, καὶ ἐν ἀνθρώποις. τοῦ γὰρ ὅλου καὶ τοῦ παντὸς ἁ δ' ἀρετὰ συνέχει τὴν κοινωνίαν καὶ τὰν ἐν θεοῖς καὶ τὰν ἐν ἀνθρώποις. θέμις γε οὖν [1.] φημίζεται παρὰ τοῖς οὐρανίοις θεοῖς. δίκα δὲ, παρὰ τοῖς χθονίοις· νόμος δὲ, παρὰ τοῖς ἀνθρώποις. ταῦτα δ' ἐντὶ σημεῖα καὶ σύμβολα, τοῦ τὰν δικαιότατα πανυπερτάταν ἀρετὰν ὑπάρχειν. ὅκα μὲν οὖν ἐν τῷ θεωρεῖν καὶ κρίνειν γένηται ἁ ἀρετὰ, καλέεται φρόνασις. [2.] ὅκα δὲ ἐν τῷ ὑφίστασθαι τὰ ἡδέα,

mollities & incontinentia nascitur, dum labores illa fugit, à voluptatibus hæc vincitur. Cùm verò melior animi pars imperat ac præest, deterior paret ac sequitur, & inter se ambæ consentiunt, tum virtus & omne bonum per totum animum existit. Et cupiditas quidem cùm rationem sequitur, fit temperantia: cùm iracundia, fortitudo: cùm partes omnes, justitia. Hæc enim & vitia cuncta, & virtutes animi inter se discernit: & animi partium compagis quædam est constitutio, virtúsque perfecta & suprema. Ut enim in hac omnia sunt, ità sine hac reliqua non existunt animi bona. Quapropter & inter deos magnam vim habet, & inter homines justitia. Totius enim atque universi tum inter hos tum inter illos communionem hæc virtus continet. ac Themis quidem apud superos, Dice autem apud inferos, Lex verò inter homines prædicatur. Hæc porro, justitiam supremam esse virtutem indicant. Cùm etenim in judicando & contemplando posita virtus est, vocatur prudentia: cùm in gravibus ferendis, fortitudo: cùm in moderandis voluptatibus,

[1.] φημίζεται.] *Gesneri codex aliàs*, φατίζεται.

[2.] ὅκα δὲ ἐν τῷ ὑφίστασθαι τὰ ἡδέα.] *Etiam hîc subest lacuna, quam sic restituimus:* ὅκα δ' ἐν τῷ ὑφίστασθαι τὰ δεινὰ, ἀνδρεία· ὅκα δ' ἐν τῷ κατέχειν τὰ ἡδέα, σωφροσύνα, &c.

σωφροσύνη. ὅκα δ' ἐν τῷ κέρδεος ἀποσχέσθαι καὶ βλάβας τᾶς εἰς τὸν πλασίον, δικαιότας ἁ δὲ κατὰ τὸν ὀρθὸν λόγον, αὐτᾶς σύνταξις, καὶ παρὰ τὸν ὀρθὸν λόγον παράβασις, τῶ δέοντός ἐντι στοχασμὸς, καὶ τοῦ μὴ δέοντος ἐπίπτωσις. ἔστι δὲ τὸ μὲν δέον, ὃ δεῖ ἦμεν. τοῦτο δὲ οὐκ ἀφαιρέσιος, οὔτε προσθέσιος δέεται. αὐτὸ γάρ ἐστιν, ὃ δεῖ ἦμεν. τῶ δὲ μὴ δέοντος, εἴδεε δύο· τὸ μὲν ὑπερβολὰ, τὸ δὲ ἔλλειψις. καὶ ἁ μὲν ὑπερβολὰ, τὸ πλέον τοῦ δέοντός ἐστιν· ἁ δ' ἔλλειψις, τὸ ἔλαττον. ἁ δ' ἀρετὰ, ἕξις τίς ἐντι τοῦ δέοντος. διόπερ καὶ ἀκρότας, καὶ μεσότας εὐθέως ἐντί. οὕτω [3.] γὰρ καὶ μεσότατες τυγχάνοντι καὶ ἀκρότατες. μεσότατες μὲν, ὅτι [4.] ἐντὸς τᾶς ὑπερβολᾶς καὶ τᾶς ἐλλείψιος πίπτοντι· ἀκρότατες δὲ, ὅτι οὔτε προσθέσιος, οὔτ' ἀφαιρέσιος δέονται. αὐτὰ γὰρ ἐντὶ ταῦτα, ἃ δεῖ αὐτὰ ἦμεν.

Ἐπειδὴ ἁ τοῦ ἤθεος ἀρετὰ περὶ πάθεα, τῶν δὲ παθέων ἡδονὰ καὶ λύπα ὑπέρτατα, φανερὸν ὅτι οὐκ ἐν τῷ ὑπεξελέσθαι τὰ πάθεα τῆς ψυχῆς ἁδονὰν καὶ λύπαν, ἁ ἀρετὰ πέπτωκεν· ἀλλ' ἐν τῷ ταῦτα συναρμόσεσθαι, οὐδὲ γὰρ ὑγίεια, εὐκρασία τίς ἐοῦσα τῶν τοῦ σώματος δυνάμεων, ἐν τῷ ὑπεξελέσθαι τὸ ψυχρὸν

temperantia: cùm in lucro & injuriâ non faciendis, justitia. Jam eandem vel secundum rectam rationem constitui, vel præter rectam rationem non constitui decorum est, vel indecorum assequi. Est autem decorum, quod esse decet. id quod nec addi quicquam nec demi postulat, quandoquidem ipsum, quod esse decet, est. Indecori verò species duæ sunt, nimium & parum. Illud plus, quàm decet, hoc minus habet. At virtus decori est habitus. quocirca statim quoque & supremum est & medium. Sic enim decora quoque & media sunt & suprema: media, quoniam inter nimium & parum constituta sunt: suprema, quoniam nec addi quicquam nec demi postulant, quandoquidem, quod esse decet, ipsa sunt.

Quandoquidem morum virtus in perturbationibus versatur, ac supremæ perturbationes voluptas & dolor censentur: efficitur, in eo virtutem non esse positam, ut quis ex animo perturbationes, voluptatem ac dolorem, evellat, verùm ut aptè connectat. Etenim nec sanitas, quæ corporis facultatum quædam est bona temperatura, in eo ponitur, si frigus,

[3.] οὕτω γὰρ καὶ μεσότατες.] *Videtur hic aliquid deesse*, οὕτω μὲν γὰρ καὶ τὰ δέοντα καὶ μεσότατες, &c.

[4.] ἐντός.] *Non* ἐκτός.

καὶ

καὶ τὸ θερμὸν, καὶ τὸ ὑγρὸν, καὶ τὸ ξηρὸν πέπτωκεν· ἀλλ' ἐν τῷ ταῦτα συγκεραστῆναι. ἔν-τι γὰρ οἷον συμμετρία τὶς τούτων. οὐδ' ἐν τᾷ μωσικᾷ, ἐν τῷ ὑπεξελέσθαι τὸ ὀξὺ καὶ τὸ βαρὺ, τὸ σύμφωνον πέπτωκεν· ἀλλ' ἐν τῷ ταῦτά πως συναρμόξασθαι συναρμογὰν τῶ ὀξέος καὶ τῶ βαρέος, τὸ μὲν σύμφωνον ἐναπολαμβάνεται, τὸ δὲ διάφωνον ἐκκρούεται. συναρμοσμένων δὲ καὶ τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, καὶ τοῦ ὑγροῦ καὶ τοῦ ξηροῦ ἁ μὲν ὑγεία γίνεται, ἁ δὲ νόσος ἀπόλλυται. συναρμοσμένων δὲ καὶ τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας, αἱ μὲν κακίαι καὶ τὰ πάθεα ἐξαιρέονται, ταὶ δ' ἀρεταὶ καὶ τὰ ἤθεα ἐγγίνονται. ἰδιαίτατον δὲ τᾶς τοῦ ἤθεος ἀρετᾶς, ἁ προαίρεσις ἁ ἐν τοῖς καλοῖς. λόγῳ γὰρ καὶ δυνάμει συγχρέεσθαι [5.] δυνατὸν, καὶ ἄνευ ἀρετᾶς, προαιρέσαι δὲ οὐ δυνατόν. τὸ γὰρ ἀξίωμα τοῦ ἤθεος ἁ προαίρεσις σημαίνει. διὸ καὶ μετὰ τῆς βίας μὲν ἐπικρατέων ὁ λογισμὸς θυμοῦ καὶ ἐπιθυμίας, ἐγκράτειαν καὶ καρτερίαν ἐμποιεῖ. μετὰ βίας δὲ πάλιν ἐκβιασθεὶς αὐτὸς ὑπὸ τῶν ἀλόγων, ἀκρατίαν καὶ μαλακίαν. αἱ δὲ τοιαῦται διαθέσιες τᾶς ψυχᾶς, ἡμιτελέες μὲν ἀρεταὶ, ἡμιτελέες δὲ κακίαι τυγχάνοντι. ὁ μὲν γὰρ λογισμὸς, ὑγιαίνει· τὰ δ' ἄλογα μέρεα τᾶς ψυχᾶς, νοσεῖ. καὶ καθὸ μὲν ἄρχεται καὶ ἄγεται ὁ θυμὸς, καὶ ἁ ἐπιθυμία ὑπὸ τοῦ λόγον ἔχοντος μέρεος τᾶς ψυχᾶς, ἁ ἐγκράτεια καὶ ἁ καρτερία, ἀρεταὶ τυγχάνοντι.

calor, humor, & siccitas tollantur, verùm si permisceantur, cùm sit horum quasi quidam commensus: nec in musica, si acutum & grave demantur, concentus oritur, verùm si hæc aptè permisceantur, tum & concentus existit, & vocum discordia tollitur. Similiter calore, frigore, humore, siccitate permistis, & sanitas oritur, & morbus perit. Neque aliter iracundiâ & cupiditate rectè compositis, & vitia cum perturbationibus eximuntur, & virtutes morésque existunt. Est autem morum virtutis maximè proprium, quod in rebus honestis est, consilium. Etenim ratione ac facultate etiam sine virtute uti licet consilio non licet, quandoquidem moris dignitatem consilium indicat. Quapropter & per vim imperans iraracundiæ & cupiditati ratio, continentiam ac tolerantiam parit: & per vim rursus à rationis expertibus pulsa, incontinentiam & mollitiem. Cæterùm tales animi affectiones & imperfectæ virtutes, & imperfecta sunt vitia. Ut enim est sana ratio, ità partes animi rationis expertes ægrotant. Et quatenus quidem à rationis compote animi parte ira & cupiditas reguntur, virtutes habentur continentia ac tolerantia:

[5.] δυνατόν.] *Sic malo, quàm* δύναται.

καθὸ δὲ μετὰ βίας, ἀλλ' οὐχ ἑκουσίως τοῦτο πράσσοντι, κακίαι τυγχάνοντι. δεῖ γὰρ τὰν ἀρετὰν μὴ μετὰ λύπας, ἀλλὰ μετὰ ἡδονᾶς τὰ δέοντα πράσσειν. πάλιν δὲ καθὸ μὲν ἐπικρατεῖ ὁ θυμὸς καὶ ἐπιθυμία τῶ λογισμῶ, μαλακίαν καὶ ἀκρατίαν ἐπιφέροντα, κακίαι τινὲς τυγχάνοντι· καθὸ δὲ μετὰ λύπης χαρίζονται τοῖς πάθεσιν, εἰδότες ὅτι ἀμπλακίσκοντι, τῷ ὑγιὲς ἦμεν τὸ ὄμμα τᾶς ψυχᾶς, ταῦτα δὲ οὐ κακίαι [6.] πλάνον. αὐτό γε τοῦτο φανερὸν, ὅτι ἑκουσίως δεῖ τὰν ἀρετὰν τὰ δέοντα πράσσειν. τὸ μὲν ἀκούσιον οὐκ ἄνευ λύπας, καὶ φόβω· τὸ δὲ ἑκούσιον, οὐκ ἄνευ ἡδονᾶς καὶ φιλοφροσύνας. ἅμα δὲ καὶ ὁ λόγος τᾶς διαιρέσιος ἐμπέσοι, καὶ παρείτω ταῦθ' οὕτως ἔχεν. ἁ μὲν γὰρ γνῶσις καὶ ἁ ὅρασις τῶν πραγμάτων, τοῦ λόγον ἔχοντος μέρεος ἐντὶ τᾶς ψυχᾶς· ἁ δὲ δύναμις τῶ ἀλόγω. τὸ γὰρ ἀντέχειν μὴ δυνάσθαι τῶν πόνων, ἐπικρατεῖν δὲ τὰν ἁδονὴν, οἰκεῖον ἐντὶ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς. ἁ δὲ προαίρεσις, ἐν ἀμφοτέροις αὐτοῖς γίνεται, καὶ τῷ λόγον ἔχοντι μέρει τᾶς ψυχᾶς, καὶ τῷ ἀλόγῳ. σύγκειται γὰρ ἐκ διανοίας καὶ ὀρέξιος. ὧν ἁ μὲν διάνοια τοῦ λόγον ἔχοντος ἐντὶ, ἁ δ' ὄρεξις τῶ ἀλόγω. διὸ καὶ ἀρετὰ πᾶσα ἐν συναρμογᾷ γίνεται τῶν μερέων τᾶς ψυχᾶς, καὶ ἑκούσιον

quatenus autem per vim hoc, non sponte fit, sunt vitia. debet enim virtus non cum dolore, sed cum voluptate officium facere. Quatenus rursum imperantes rationi ira & cupiditas, mollitiem & incontinentiam procreant, vitia hæc sunt: quatenus verò cum dolore perturbationibus gratificantur, dum errorem suum, quoniam sanus est animi oculus, agnoscunt, non vitia, vel saltem non prorsus, habenda veniunt. Manifestum est igitur, sponte virtutem debere officium facere. Et cum voluntate quidem conjunctum quod est, non caret voluptate & hilaritate: quod autem non est, dolore & metu non caret. Quid quod simulátque inciderit divisio, hæc ità se habere comperientur. Etenim cognitio rerum & inspectio ratione præditæ est animi partis: facultas autem ratione carentis. siquidem & laboribus resistere, & voluptates moderari, ratione carentis proprium est animi partis. Consilium verò in utroque cernitur, & rationis compote, & experte animi parte. cùm enim ex intelligentia & appetitu constet, illa ad rationis compotem, hic ad expertem refertur. Quamobrem & virtus omnis in partibus animi componendis posita est, & voluntas

[6.] πλάνον αὐτό γε τοῦτο.] *Gesnerus* πλάνον *otiosum, ego corruptum existimo, & sic lego,* πλὰν οὐκ αὐτό γε τοῦτο.

δὲ

δὲ καὶ τὸ προαιρετὸν πάντως ἐν τᾷ ἀρετᾷ.

Καθόλου μὲν ὦν ἀρετὰ, συναρμογά τις ἐντὶ τῶν ἀλόγων μερέων τᾶς ψυχᾶς, ποτὶ τὸ λόγον ἔχον. γίνεται δὲ αὐτὰ, [7.] τῷ καὶ τὰν ἡδονὰν καὶ τὰν λύπαν ὅρον ἐπιδέξασθαι τὸν τοῦ δέοντος. οὐδὲν γὰρ ἄτερον ἀληθινὴ ἀρετὰ, εἰ μὴ ἕξις τῶ δέοντος. αὐτὸ δὲ τὸ δέον ἐντὶ, ὅπως δεῖ ἦμεν. τὸ δὲ μὴ δέον, [8.] ὅπως οὐ δεῖ ἦμεν. τοῦ δὲ μὴ δέοντος εἰδέαι δύο· τὸ μὲν ὑπερβολὰ, τὸ δ' ἔλλειψις. καὶ ὑπερβολὰ μὲν ἐντὶ, τὸ πλέον τοῦ δέοντος· ἔλλειψις δὲ, τὸ ἔλαττον τοῦ δέοντος. τὸ δὲ δέον αὐτὸ ἐὸν, ὅπερ δεῖ ἦμεν, καὶ ἄκρον ἂν ὑπάρχοι καὶ μέσον. ἄκρον μὲν, ὅτι οὔτ' ἀφαιρέσιος, οὔτε προσθέσιος δέεται· μέσον δὲ, ὅτι μεταξὺ ἐντὶ τᾶς ὑπερβολᾶς, καὶ τᾶς ἐλλείψιος. ἔχει δὲ τὸ δέον καὶ μὴ δέον [9.] εἰς ἄλληλα οὕτως, ὥσπερ τὸ ἴσον καὶ ἄνισον, καὶ τὸ τεταγμένον καὶ ἄτακτον (ταῦτα δ' ἐντὶ ἀμφότερα, τὸ πεπερασμένον καὶ τὸ ἄπειρον) καὶ διὰ τοῦτο τῶν ἀνίσου τὰ μέρεα, λέγεται ποτὶ τὸ μέσον, ἀλλ' οὐ ποτ' ἄλληλα. ἀμβλεῖα τε γὰρ ὀνομάζεται γωνία, ἁ μείζων ὀρθᾶς· ὀξεῖα δὲ, ἁ μείων ὀρθᾶς. καὶ μείζων μὲν εὐθεῖα, ἁ ὑπερέχουσα τὰν ἐκ τοῦ κέντρου. καὶ μακροτέρα μὲν ἁμέρα ἰσημερινᾶς. καί τε νόσοι τε γίνονται τοῦ σώματος, διὰ τὸ θερμότερον ἢ κρυμωδέστερον

atque consilium prorsus in virtute cernuntur.

Et in universum quidem compositio quædam ratione carentium animi partium cum rationis compote, virtus est: cùm autem & voluptas & dolor decori norma reguntur, tum existit. Nihil enim est aliud vera virtus, quàm decori habitus. Decorum autem est, quod esse decet: indecorum, quod non decet. Indecori verò species duæ sunt, nimium & parum. Illud plus, quàm decet, hoc minus habet. Decorum porro cùm sit, quod esse decet, & supremum sit & medium: supremum, quoniam nec addi quicquam nec demi postulat: medium, quoniam inter nimium & parum constitutum est. Sic porro se decorum & indecorum inter se habent, ut æquale & inæquale, dispositum & confusum: quæ quidem utraque finitum & infinitum sunt Jam inæqualis partes ad medium, non ad se invicem referuntur. Nam & obtusus dicitur angulus, qui recto major est, & acutus, qui minor, & major linea recta, quæ ductam è centro superat, & longior dies eo, quem dat æquinoctium. morbi quoque gignuntur, quoniam vel calidius vel frigidius

[7.] τῷ καὶ τάν.] *Prius legebatur*, τὸν κατὰ τάν.
[8.] ὅπως.] *Aliàs*, ὅπερ.
[9.] εἰς ἄλληλα.] *Aliàs*, πρὸς ἄλληλα.

γίνεσθαι τὸ σῶμα. τὸ μὲν γὰρ θερμότερον ἔντι, τὸ πλέον τῶ μετρίω· τὸ δὲ κρυμωδέστερον, ἔλασσον τούτω. ἔχει δέ γε καὶ ἁ ψυχὰ, καὶ τὰ περὶ αὐτὰν, τὰν διάθεσιν, καὶ τὰν ἀναλογίαν ταύταν. ἁ μὲν [10.] οὖν θρασύτας ἐντὶ ὑπερβολὰ τοῦ δέοντος, ἐν ὑποστάσει δεινῶν· ἁ δὲ δειλότας, ἔλλειψις τῶ αὐτῶ. καὶ ἁ μὲν ἀσωτία, ὑπερβολὰ τῶ δέοντος ἐν δαπάνῃ χρημάτων· ἁ δ' ἀνελευθερία, ἔλλειψις τῶ αὐτῶ. καὶ ἁ μὲν ὀργὰ, ἐντὶ ὑπερβολὴ τοῦ δέοντος ἐν ὁρμᾷ θυμῶ. ἁ δ' ἀναλγησία, ἔλλειψις τούτου. ὁ δ' αὐτὸς λόγος, καὶ ἐπὶ τῶν ἄλλων διαθέσεων τῶν ἀντικειμένων. δεῖ δ' ἕξιν τοῦ δέοντος ὑπάρχοισαν τὴν ἀρετὴν, καὶ μεσότητα τῶν παθέων, μήτ' ἀπαθέα, μήτ' ἐκπαθέα ἦμεν. ἁ μὲν γὰρ ἀπαθεία, ἀπαρόρμητον καὶ ἀνενθουσίαστον παρέχεται τὰν ψυχὰν ποτὶ τὸ καλόν· ἁ δ' ἐκπάθεια, συντεταραγμένον καὶ ἀνεπιλόγιστον. δεῖ ὦν τὸ πάθος οὕτω παρεμφαίνεσθαι ἐν τᾷ ἀρετᾷ, ὥσπερ καὶ τὰν σκιὰν καὶ τὰν γραμμὰν ἐπὶ τῆς γραφῆς. τὸ γὰρ ἔμψυχον καὶ τὸ ἁπαλὸν, καὶ τὸ μεμιμημένον τὴν ἀλήθειαν σὺν τῇ χρηστότητι τῶν χρωμάτων, μάλιστα γίνεται διὰ τούτων. ἔμψυχα δὲ ἐκ παρορμήσεως καὶ ἐνθουσιασμοῦ ἀρετῆς τῆς κατὰ φύσιν τὰ πάθεα τῆς ψυχῆς. γίνεται γὰρ ἐκ τῶν παθέων ἁ ἀρετὰ· καὶ γεννηθεῖσα, πάλιν [11. σὺν αὐτοῖς συνίσταται. ὥσπερ

redditum est corpus. siquidem quod calidius est, plus est mediocritate: quod frigidius, minus. Enimvero animus quoque cum suis hanc affectionem & proportionem habet. Ut enim audacia plus decoro habet in gravibus perferendis, ità minus ignavia. ut prodigalitas plus decoro habet in sumptuum factione, ità minus illiberalitas. ut ira plus decoro habet in iracundiæ impetu, ità stupiditas minus. Ac similis est aliarum affectionum oppositarum ratio. Debet autem virtus, cùm decori sit habitus, & perturbationum mediocritas, nec stupida esse, nec immodicè affici. Ut enim stupor immotum & languidum ad honestatem reddit animum, ità confusum & imperitum immodica perturbatio. Quare sic debet in virtute perturbatio, ut in pictura umbra atque linea, obiter elucere. Quod enim vivum ac tenerum & veritatem exprimens ducitur, id per hæc maximè, si boni sunt colores, efficitur. Animi quoque perturbationes naturalis virtutis impetu & instinctu animantur. Ut enim ex perturbationibus oritur virtus, ità rursum orta cum ipsis conjungitur: quemadmodum

[10] ἁ μὲν οὖν.] *Aliàs*, ἁ μὲν γάρ.

[11] σὺν αὐτοῖς συνίσταται.] *Gesnerus aliàs*, συναύξεται τούτοις.

καὶ

καὶ τὸ καλῶς ἡρμοσμένον ἐκ τῆς ὀξέως καὶ βαρέως, καὶ τὸ δίκραστον ἐκ τῆς θερμῆς καὶ ψυχρῆς, καὶ τὸ ἰσόρροπον ἐκ τῆς βαρέως καὶ κούφου. οὐκ ἀρελεῖν ἂν δεῖ τὰ πάθεα τῆς ψυχῆς, ὅτε γὰρ ὠφέλιμον· ἀλλὰ σωφρόσυναν ποιεῖ τὸ [12.] λόγον ἔχον τῷ δέοντι καὶ τῷ μετρίῳ.

ex gravi & acuto concentus, ex calido & frigido temperatura, ex gravi & levi æquilibrium. Non sunt igitur ex animo tollendæ perturbationes, quandoquidem id non conducit, verùm cum ratione prædito per decorum & mediocritatem aptè componendæ.

[12.] τὸ λόγον ἔχον τῷ δέοντι.] *Videtur deesse,* διὰ, *vel* μετὰ, *hoc modo:* τὸ λόγον ἔχον μετὰ τοῦ δέοντος.

ARCHYTÆ
PYTHAGOREI,
lib. de Morum doctrina.

ΦΗΜΙ τὰν ἀρετὰν ἥμιν ποτὸ μὲν κακοδαιμονεῖν ἰκανὰν, τὰν δὲ κακίαν ποτὸ μὲν εὐδαιμονεῖν, αἰκα τὰς ἕξιας αὐτὰς κείνομες. αἰεὶ μὲν γὰρ κακοδαιμονεῖν ἀνάγκα τὸν κακὸν, αἴτε ἔχῃ ὕλαν, κακῶς τε χρῆται· αἴτε ἀπανίζοι· ὡς καὶ τὸν τυφλόν, αἴτε φῶς ἔχει, καὶ λαμπρότατα ὁρατὰν, αἴτε ἐν σκότει διατελεῖ. οὐκ αἰεὶ δὲ εὐδαιμονεῖν τὸν ἀγαθόν. ἃ γὰρ κτῆσις τᾶς ἀρετᾶς εὐδαιμονία ἐστὶ, ἀλλὰ χρῆσις.

AIO virtutem ad miseriam, vitium ad beatitudinem fugiendam, si habitus ipsos inspiciamus, sufficere. Semper enim virum malum esse miserum necesse est, sive materiam habeat, quoniam eâ malè utitur, sive non habeat: quemadmodum & cæcum, sive lucem atque splendorem habeat, sive in tenebris degat, cæcum esse necesse est. At bonum non semper beatum esse necessarium est, quandoquidem non in possessione virtutis, verùm in usu beatitudo cernitur.

καὶ

καὶ γὰρ ὁ ἔχων τὴν ὄψιν, οὐχ ὁρᾷ αἰεί. αἱ γὰρ μὴ ἔχοι φῶς, οὐκ ὄψεται. δύο δ' ὁδοὶ τέμνονται ἐν βίῳ· ἁ μὲν σκυθρωποτέρα, ἂν ὁ τλάμων ἐβάδιζεν ὀδυσσεύς· ἁ δὲ εὐδιεινοτέρα, τὰν ἐπορύετο νέστωρ. τὰν ὦν ἀρετὰν φαμὶ δηλῆσθαι μὲν ταύταν, δύνασθαι δὲ καὶ τήναν. ἀλλὰ τὰν εὐδαιμονίαν [1.] καρύσσει ἁ φύσις βίον εὐκταῖον, καὶ εὐσταθέα, διὰ τὸ γνώμας τελεσθῆναι. ὥς τε ἃ μὴ δηλῆταί τις [2.] παριόντας, οὐκ εὐδαίμων μὲν, οὐ μὴν πάντως κακοδαίμων. Μὴ ὦν ἄνοσον καὶ ἀνάλγητον [3.] τολμώντων τὸν ἀγαθὸν εἰπεῖν, μηδὲ ἄλυπον θρασυνέσθωσαν λέγεν. ὡς γὰρ σώματι ἀλγεινὰ τινὰ ἀπολείπομεν, οὕτω καὶ ψυχαῖς ἐπώδυνα. ἀλλ' αἱ μὲν ἀφρόνων λύται ἀλόγιστοι πέλονται· αἱ δὲ φρονίμων ἐς ὅσον ὁ [4.] λόγος ἐπιτρέπει [5.] ὁρίσδων τὰ πράγματα. ἀλλὰ μὰν καὶ τὸ καύχαμα αὐτῶν τᾶς ἀπαθείας, ἐκλύει τᾶς ἀρετᾶς τὸ γενναῖον, αἴκα ἐν [6.] διαφόροις καὶ μὴ κακοῖς θανάτῳ τε καὶ ἀλγηδόνι καὶ πενίᾳ ἀντιβεβάκῃ. εὐκαταγώνιστα γὰρ τὰ μὴ κακά. ἀσκητέον ὦν ποτὰν μετριοπαθίαν ἰέμεν, ὡς

Nam neque qui visu præditus est, videt semper. si enim luce careat, nihil videbit. Ac duæ secantur in vita viæ: altera difficilior, quâ patiens incessit Ulysses: altera commodior, quam Nestor tenuit. Virtutem igitur aio & hanc expetere, & illam posse. Sed beatitudinem natura vitam optabilem atque firmam, quoniam consilia perficiantur, prædicat. Quapropter qui, quæ non desiderat, omittit; ut beatus non est, ità nec planè est miser. Nè igitur morbis ac doloribus bonum virum carere audeant dicere. Quemadmodum enim corpori, sic & animo quædam, quæ dolorem pariant, relinquimus. Veruntamen stultorum dolores ratione carent: prudentum non ulterius quàm ratio, res definiens, permittat, produnt.. Quid quod ipsorum de stupore gloriatio virtutis generositatem tollit, si rebus medii generis & non malis morti, dolori, & paupertati se opponat. Facilè etenim, quæ mala non sunt, vincuntur. Quocirca mediocritatem perturbationum sectari debemus. siquidem

[1.] καρύσσει ἁ.] *Mendosè*, καρύσσεια. *Nisi quis*, χαράσσει ἁ, *malit*.

[2.] παριόντος.] *Sic legere malo, quàm* παριόντας.

[3.] τολμώντων.] *Non* τολμῶντα.

[4.] ὁ λόγος.] *Mendosè*, ἀλόγως. *Gesnero emendante*.

[5.] ὁρισδων.] *Depravatè*, ὁριάδων.

[6.] ἀδιαφόροις.] *Malè*, διαφόροις.

τότε

τότε ἀνάλγητον εἰς ἴσον τῷ ἐκπαθεῖ φεύγομες, [7.] μήτε μέζον φύσιος τὰς ἁμετέρας φθεγγόμεθα.

& stuporem æquè atque immodicam perturbationem fugimus, neque supra naturam nostram loquimur.

[7.] μήτε.] Non μηδέ.

EJUSDEM, LIBRO

de Bono viro & beato.

ΦΑΜΙ, δὴ τὸν ἀγαθὸν ἄνδρα τοῦτον ἦμεν, τὸν πράγμασι μεγάλοις καὶ καιροῖς καλῶς χρεόμενον. οὗτος δέκε εἴη ὁ ἐντυχίαν τε δυνάμενος καλῶς φέρεν, καὶ πάλιν ἀτυχίαν. καὶ ὁ ἔν τε τοῖς καλοῖς καὶ τιμίοις ἄξιος γενόμενος τῶν ὑποκειμένων, καὶ μεταβαλοίσας τᾶς τύχας ἐπὶ τὸ παρὸν ἐκδεχόμενος. εἰ δὲ συντόμως τε καὶ κεφαλαιωδῶς δεῖ φράσαι, ὁ ἐν πάντεσσι τοῖς καιροῖς καλῶς ἀγωνιζόμενος ἐκ τῶν ἐνδεχομένων· καὶ μὴ μόνον αὖ ταυτὸν οὕτως διατιθεὶς, ἀλλὰ καὶ τοὺς ἐμπιστεύσαντας αὐτῷ καὶ συναγωνισαμένους.

AIO virum bonum eum esse, qui rebus ac temporibus magnis rectè utatur. qui quidem & felicitatem rectè possit, & infelicitatem ferre: ac tum rebus bonis dignum se fortunâ præbeat, tum rebus mutatis rectè, quod evenit, ferat: qui denique qualicunque tempore rectè pro re nata se gerat, nec sese solum, sed & alios ipsi fidentes ac rerum socios ità componat.

DE

DE HABITIBUS IN SPECIE.

DE PRUDENTIA.

CRITONIS PYTHAGORICI,

lib. de Prudentia & Felicitate.

ΦΡΟΝΗΣΙΣ καὶ εὐτυχία, ὧδε ἔχοντα πρὸς ἄλλαλα. φρόνησις μὲν, τὸ ῥητὸν καὶ λόγον ἔχον. τεταγμένον γάρ τι καὶ ὡρισμένον ἐντί. εὐτυχία δὲ, τὸ ἄῤῥητον καὶ τὸ ἄλογον. ἄτακτον γάρ τι καὶ ἀόριστον ἐντί. καὶ τὸ μὲν ἀρχᾷ καὶ δυνάμει πρῶτον, τὸ δὲ ἀρχᾷ καὶ δυνάμει ὕστερον. τὸ μὲν γὰρ κυβερνᾶν καὶ ὁρίζειν πέφυκε, τὸ δὲ κυβερνᾶσθαι καὶ ὁρίζεσθαι. λαμβάνοντι μέντοι γε συμπλοκὰν ἀμφότερα, φρονήσει καὶ εὐτυχίης εἰς ταυτὸ συνδρομούσας. ἀεὶ γὰρ δεῖ, τὰν μὲν ῥητὰν καὶ λόγον ἔχοισαν φύσιν, ἔχειν ὃ περαίνει τε καὶ συντάσσει. τὰν δ' ἄῤῥητον καὶ ἄλογον, ἔχειν ὑφ' ὧ περαδήσεταί τε καὶ συνταχθήσεται. ἔχει γὰρ ὅπως ὁ λόγος καὶ πάντων, ὅ, τε τᾶς ἀπείρου φύσιος καὶ τᾶς περαινούσας. τὰ μὲν γὰρ ἄπειρα, φύσιν ἔχει περαίνεσθαί τε καὶ συντετάχθαι ὑπὸ τοῦ λόγου ἐχόντων ἀεὶ καὶ φέρασιν ὕλας

PRUDENTIA & felicitas sic se habent altera ad alteram, ut prudentia rationis ac sermonis sit particeps, quandoquidem compositum quiddam ac definitum est: felicitas in rationem ac sermonem non cadat, quandoquidem & confusum & infinitum quiddam est. Illa initio ac facultate prior, hæc posterior est. Nam ut illa gubernare ac definire, ità gubernari hæc atque definiri solet. Veruntamen componitur utrunque, cùm prudentia & felicitas eodem concurrunt. Semper etenim rationis ac sermonis particeps natura debet, quòd definiat atque componat: rationis & sermonis expers, à quo definiatur atque componatur, habere. Sic enim & infinitæ & finientis naturæ ratio per omnia se habet, ut, quæ quidem infinita sint, ab iis, quæ rationem & prudentiam habent, naturâ finiantur, & componantur,

ὕλας

Digitized by Google

ὕλας γὰρ καὶ ἐσίας ἔχουσι τάξιν. τὰ δὲ περαίνοντα, ἐξ αὐτέων συνεστάχθαι τε καὶ ὡείδεϊ. τέχνας γὰρ καὶ αἰτίας ἐνεργαπικὰς ἐπέχουσι τάξιν.

Α δὲ συναρμογὰ ταύτων τῶν φύσιων κατ' ἄλλα καὶ ἄλλα γινομένα, μεγάλαν καὶ ποικίλαν ἐποίησε τὰν διαφορὰν τῶν συναρμοσμένων. ἔνεστι γὰρ τᾷ μὲν ὅλων περιοχᾷ συναρμογὰ συναμφοτέρων τῶν φύσιων, τᾶς τε ἀεικινήτω φύσιος, καὶ τᾶς ἀειπαθέος, κόσμος ἐντί. ἄλλως γὰρ οὐκ ἐνεδέχετο σώζεσθαι τό, τε ὅλον καὶ τὸ πᾶν, μὴ συναρμογὰν ἔχοντος τῶ γεννατῶ ποτὶ τὸ θεῖον, καὶ τῶ ἀειπαθέος ποτὶ τὸ ἀεικίνατον. ἔνεστι τῷ ἀνθρώπω ἃ συναρμογὰ τῶ ἀλόγω μέρεος τᾶς ψυχᾶς ποτὶ τὸ λόγον ἔχον, ἀρετά. ἔστι γὰρ ἐν τούτοις ἐνδέχεται φάσις ἐόσας ἐν ἀμφοτέροις τοῖς μέρεσιν, ἀποτελεσθῶσι ἀρετάν. καὶ ἐν πόλει δὲ, τᾷ μὲν ἀρχομένων ποτὶ τὼς ἄρχοντας, ἀποτελεῖ κράτος, καὶ ὁμόνοιαν. τὸ μὲν γὰρ ἄρχειν, ἴδιον τῶ κρείσσονος· τὸ δ' ἄρχεσθαι ῥᾴον τῶ χείρονος, τὸ δὲ κρατεῖν καὶ ὁμονοεῖν, κοινὸν ἀμφοτέρων. ὁ δὲ αὐτὸς τρόπος τᾶς ἐφ' ὅλων καὶ τᾶς ἐπὶ τῶ οἴκω συναρμογᾶς συμπάθειά τε καὶ [1.] συμπάθησιν [2.] ἐπωδὰς καὶ παιδείας, ποτὶ λόγον ἐς τὸ αὐτὸ συμφερομίσας. καὶ λύπας δὲ, καὶ ἡδονὰς, καὶ συντυχίας, καὶ [3.] ἀτυχήματα. χρήζει γὰρ ὁ βίος

quandoquidem materiæ naturæque locum tenent: quæ autem finiunt, à seſe compoſitionem ac finem nacta ſint, quandoquidem artis & efficientis cauſæ vicem gerunt.

Harum porro naturarum in variis rebus facta compoſitio, magnam & variam peperit compoſitorum differentiam. In Univerſo primum utriuſque naturæ compoſitio, tum quæ ſemper movet, tum quæ ſemper patitur, mundus eſt. Nec enim aliter Univerſum ſubſiſtere potuiſſet, niſi & creatum cum divino, & quod ſemper patitur cum eo, quod ſemper movet, fuiſſet compoſitum. In homine verò partis animi ratione carentis cum rationis compote compoſitio fit virtus. Nequit enim hic, diſſentientibus inter ſe partibus utriſque, virtus exiſtere. Similiter in urbe principum cum ſubjectis compoſitio, potentiam parit & concordiam. Ut enim imperium, potioris, ità obtemperatio deterioris, potentia & concordia eſt utriuſque propria. Jam eadem in Univerſo & in familia compoſitionis ratio, ignorationes atque doctrinas, eodem cum ratione concurrentes, nec non dolores ac voluptates, felicitates & infelicitates componit. Requirit enim vita tum

[1.] συνπάθησιν] Aliàs, συνπάσσεται.
[2.] ἐπωδὰς.] Fortè ἀμαθίας, niſi aliud ſubſit myſterium.
[3.] ἀτυχήματα] Geſnerus etiam, ἀτυχίας.

τυγχά-

τυγχάνειν καὶ ἀνέσιος, καὶ ἐπιτάσιος, καὶ σκυθρωπότατος, καὶ διαχύσιος· καὶ εὐτυχίας δὲ καὶ ἀτυχίας. ἃ μὲν γὰρ συνέχειν καὶ συνάγειν δύναται τὸν νόον, ἐς τὰν εὐμαχανίαν, καὶ ἐς τὰν φρόνασιν. ἃ δ' ἄμπαυσιν καὶ διάχυσιν παρεχόμενα, καινότερον καὶ εὔψυχον αὐτὸν παρασκυάζοντι ποτὶ τὰς πράξιας. εἰ δὲ ἓν τούτων ἐνδυναστεύοι κατὰ τὸν βίον, ἑτερομερής τε καὶ ἑτεροκλινὴς γίνεται ὁ βίος, ὅκα μὲν ἐπὶ τὸ σκυθρωπόν τε καὶ χαλεπὸν καταφερόμενος, ὅκα δὲ ἐπὶ τὸ ἀνειμένον καὶ κοῦφον. ἁ δὲ συναρμογὰ τούτων ἁπάντων ὀφείλει γίγνεσθαι ποτὶ τὰν φρόνασιν. αὐτὰ γὰρ ἁ διενεργοῦσα ἐντὶ, τός τε ἄπειρον καὶ τὸ περαῖνον ἐν ταῖς πράξεσι. διόπερ καὶ τᾶν ἄλλαν ἀρετᾶν αὔτ' ἂν ἁγεμών ἐντι καὶ μάτηρ. πᾶσαι γὰρ ποτὶ τὸν λόγον καὶ νόμον τὸν ταύτας συναρμοσμέναι τε καὶ συντεταγμέναι τυγχάνοντι. περαίνεται [4.] δὴ ὁ λόγος ἤδημοι κατ' εὐθεῖαν. τὸ γὰρ ἄλογον καὶ τὸ ῥητὸν ἐν πᾶσιν ἔνι. καὶ τὸ μὲν ὁρίζει καὶ περαίνει, τὸ δ' ὁρίζεται καὶ περαίνεται. τὸ δ' ἐξ ἀμφοτέρων αὐτῶν συγκείμενον, ἅ, τε τῷ ὅλῳ καὶ τῷ παντὸς συναρμογά ἐντι.

tum intensionem & remissionem, tum difficultatem & oblectationem, tum felicitatem & infelicitatem. Alia enim ad industriam & prudentiam valent mentem cogere & contrahere: alia requie ac delectatione exhibitis, recentiorem eandem & ad actiones alacrem præstant. Quòd si quid horum in vita excellat, alterius sit partis ac declivis vita, vel ad asperitatem ac difficultatem, vel ad remissionem & facilitatem vergens. Cæterùm horum omnium compositio secundum prudentiam debet institui. Hæc enim finitum & infinitum in actionibus constituit. Quapropter etiam reliquarum virtutum mater hæc atque dux est. siquidem ad hujus rationem & legem cunctæ sunt compositæ. Et jam nobis oratio simul finitur. Quod enim ratione caret, quódque in sermonem cadit, in omnibus cernitur. Illud finitur, hoc finit. Quod autem ex utroque constituitur, totius est atque universi compositio.

[4.] περαίνεται δή.] Aliàs, δέ.

ARCHYTÆ

ARCHYTÆ PYTHAGOREI,

libro de Bono viro et beato.

ΦΡΟΝΙΜΟΣ ἀνὴρ ὅπως ἂν μάλιστα γένοιτο. φύσος πρῶτον εὐσόχω τε καὶ μναμονικῷ· καὶ φιλοπόνω τυχών, ἐν λογισμοῖς τε καὶ μαθήμασι, καὶ πρὸς ποτ' ἀκρίβειαν θεωρίας εὐθὺς ἐκ νέων γυμνάσαιτο τὰν διάνοιαν φιλοσοφίας ἀπόμοιρον ὀρθᾶς. μὴ δὲ ταύτας, θεῶν τε καὶ νόμων καὶ βίων ἀνθρωπίνων ἐμπειρίαν λάβῃ. δύο γὰρ ἐστὶ ἐξ ὧν τῷ φρονίμῳ διάθεσις ὠφελίμα γίνεται, ὧν τὸ μὲν ἐντὶ ἕξιν μαθηματικάν τε καὶ γνωσικὰν λαβεῖν, τὸ δὲ θεωρήματα καὶ πράγματα πολλὰ ἐπελθόντα μὴ καὶ αὐτὸν ἰδόντα, τὰ δὲ καὶ δι' ἑτέρω τινὸς τρόπω καταπονήσαντα. ἔστε γὰρ ὁ ἐν λογισμοῖς καὶ μαθήμασι, καὶ πρὸς ποτ' ἀκρίβειαν θεωρίας εὐθὺς ἐκ νέων γυμνάσας τὰν διάνοιαν, ἱκανός ἐστι ποτὶ φρόνασιν· ὅδ' ὁ τούτων μὲν ἀπολειφθείς, ἐν ἀκριβαμάτεσι δὲ πολλοῖς καὶ πράγματεσιν ἀναστρεφθείς. ἀλλ' ὁ μὲν ἐν τῷ καθόλω θεωρὲν ἀεί. καθάπερ γὰρ ἐπὶ τῶν λογισμῶν τὰ μέρεα σωπθεὶς

VIR prudens ità fit maximé. Naturam primùm, quæ ingenio, memoriâ, ac labore valeat, nactus, in ratiocinationibus ac disciplinis & accuratis contemplationibus à puero, rectam sectatus philosophiam, se exerceat. Deinde deorum, legum, ac vivendi generum experientiam sibi comparet. In duabus enim his rebus prudentia ponitur, ut quis & habitu sit disciplinæ atque cognitionis particeps, & multas res partim ipse tractarit ac viderit, partim alio quovis modo perspectas habeat. Etenim nec qui in ratiocinationibus ac disciplinis & accuratis contemplationibus à puero se exercuit, nec qui his destitutus, in auditionibus multis ac rebus versatus est, aptus est ad prudentiam. Sed ut hic in singulis judicandis, ità ille in toto semper considerando mentem excæcavit. Quemadmodum enim in rationibus, qui partes

Digitized by Google

συντιθεὶς τὸ ὅλον ἐξ αὐτῶν λογίζεται· οὕτω καὶ ἐπὶ τῶν πραγμάτων δύναται ὁ μὲν λόγος τὰν καθόλου θεωρίαν ὑπογράφειν· ἁ δ' ἐμπειρία, καθ' ἕκαστα κρίνειν.

composuit, ex iis totum supputat: ità in rebus, ratio totius rei constitutionem delineare, experientia de singulis judicare potest.

EJUSDEM, LIBRO de Disciplinis.

ΔΕΙ γὰρ ἢ μαθόντα παρ' ἄλλου, ἢ αὐτὸν ἐξευρόντα ὧν ἐπιστάμων ἦσθα, ἐπιστάμονα γενέσθαι. τὸ μὲν οὖν μαθεῖν παρ' ἄλλου καὶ ἀλλότριον· τὸ δὲ ἐξευρὲν αὐτὸν δι' αὐτοῦ καὶ ἴδιον. ἐξευρεῖν δὲ μὴν ζητοῦντα εὔπορον καὶ ῥᾴδιον· μὴ ἐπιστάμονα δὲ ζητεῖν ἀδύνατον. στάσιν μὲν ἔπαυσεν, ὁμόνοιαν δὲ αὔξησεν, λογισμὸς εὑρεθείς. πλεονεξία τε γὰρ οὐκ ἔστι, τούτου γενομένου, καὶ ἰσότας ἐστίν. τούτω γὰρ περὶ τῶν συναλλαγμάτων διαλλασσόμεθα. διὰ τοῦτον οὖν οἱ πένητες λαμβάνοντι παρὰ τῶν δυναμένων· οἵ τε πλούσιοι διδόντι τοῖς δεομένοις, πιστεύοντες ἀμφότεροι διὰ τούτω τὸ ἴσον ἕξειν. κανὼν δὲ καὶ κωλυτὴρ τῶν ἀδικούντων, τοὺς μὲν ἐπισταμένους τοῦ ὀργίζεσθαι πρὶν ἀδικεῖν ἔπαυσε, πείσας ὅτι οὐ δυνασοῦνται λαθεῖν, ὅταν ἐπ' αὐτὸ ἔλθωντι. τοὺς δὲ μὴ ἐπισταμένους ἐν αὐτῷ δηλώσας ἀδικοῦντας, ἐκώλυσεν ἀδικῆσαι.

DEBES enim vel ex alio discendo, vel ipse, quorum scientiam habes, inveniendo, peritus reddi. Ac si quidem discis, id ab alio habes, & alienum est: sin ipse invenis, ex te, ac tuum habes. Et siquidem quæras facilè erit invenire: sin quærere nescias, difficile. Et seditionem compescuit, & auxit concordiam inventa ratio. In hac enim ut æqualitas inest, ità deest iniquitas: & hujus operâ contractus componuntur. Hujus gratiâ pauperes à divitibus sumunt, & pauperibus concedunt divites, postquam per hanc utrique se æquum obtenturos credunt. Jam cum injuriorum norma sit & repagulum, eorum, qui periti sunt, iram ante injuriam sedat, postquam eos non posse, cum ad rem ventum erit, latere persuasit: imperitos autem, ostenso in re ipsa scelere, ab injuria revocat.

DE

DE JUSTITIA.

POLI PYTHAGOREI

Libro de Justitia.

ΔΟΚΕΙ μοι τῶν ἀνδρῶν τὰν δικαιοσύναν, ματέρα τε καὶ τιθηνὰν τῶν ἄλλων ἀρετῶν προσειπεῖν. ἄτεργε ταύτας, οὔτε σώφρονα, οὔτε ἀνδρεῖον, οὔτε φρόνιμον οἷόν τε εἶναι. ἁρμονία γάρ ἐστι καὶ εἰρήνα τᾶς ὅλας ψυχᾶς μετ' εὐρυθμίας. δηλοφανέστερον δὲ καὶ γένοιτο τὸ ταύτας κράτος, ἐτάζουσιν ἁμῖν τὰς ἄλλας ἕξιας. μερικὰν γὰρ ἔχονται αὐταὶ τὰν ὠφέλειαν, καί ποθ' ἕνα· ἃ δέ ποθ' ὅλα τὰ συστάματα, καὶ ἐν πλάθει. ἐν κόσμῳ μὲν ὦν αὐτὰ τὰν ὅλαν ἀρχὰν διαστραταγοῦσα, πρόνοιά τε, καὶ ἁρμονία, καὶ δίκα, γένους τινὸς θεῶν οὕτω ψαφιξαμένων. ἐν πόλει δὲ εἰρήνα τὲ καὶ εὐνομία δικαίως κέκληται. ἐν οἴκῳ δ' ἐστὶν ἀνδρὸς μὲν καὶ γυναικός ποτ' ἀλλάλως ὁμοφροσύνα· οἰκετᾶν δὲ ποτὶ δεσπότας εὔνοια· δεσπόταν δὲ ποτὶ θεράποντας καδεμονία. ἐν σώματι δὲ, πρᾶτα καὶ ἅπασιν ἀγαπατοτάτα ζώοις,

EXISTIMO justitiam reliquarum virtutum matrem ac nutricem esse dicendam. siquidem absque hac nec temperans, nec fortis, nec prudens quisquam possit esse. Est enim hæc animi totius cum concinnitate pax atque harmonia. Ac manifestior fiet hujus dignitas, si cæteros habitus consideraverimus. Ut enim illorum usus ad unum aliquod refertur, ità hæc ad cœtus integros, & multitudinem. Et in mundo quidem totum administrans imperium, Providentia, Harmonia, ac Dice vocatur ex deorum quorundam decreto: in urbe verò pax & recta legum constitutio: in familia autem viri & uxoris inter ipsos concordia, famulorum erga dominos benevolentia, dominorum de famulis cura: in corpore porro, quæ prima est & omnibus animalibus carissima,

ἅτε ὑγίεια καὶ ἀρτιότας. ἐν δὲ ψυχῇ σοφία καὶ τὰς ἐπιστάμας τε καὶ δικαιοσύνας γιομένη παρ' ἀνδράσιν. εἰ δ' αὖτε τὸ ὅλον καὶ τὰ μέρεα ἔτω παιδαγωγεῖ τε καὶ σώζει, ὁμόφρονα καὶ ποτάρρεα ἀλλάλοις ἀφραζόμενα, πῶς ἃ μάτηρ καὶ τιθηνὰ πασᾶν τε καὶ πάντων παυφαφεὶ λέγεται;

sanitas & bona valetudo: in animo denique sapientia, quæ inter homines è scientia constat atque justitia. Quòd si hæc ità totum & partes instruit ac servat, & concordiam inter ipsa compositionémque efficit, cur non mater omnium ac nutrix cunctorum calculis habeatur?

ΤΕΛΟΣ.

FINIS.

[1.] ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ διαλέξεις Δωρικῇ διαλέκτῳ, Περὶ τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, Περὶ τοῦ καλοῦ καὶ τοῦ αἰσχροῦ, Περὶ τοῦ δικαίου καὶ τοῦ ἀδίκου, Περὶ τοῦ ψεύδους καὶ τῆς ἀληθείας, Περὶ τῆς σοφίας καὶ τῆς ἀσοφίας, εἰ διδακτόν.

Incerti cujusdam dissertationes quinque Dorico sermone conscriptæ.

Versione & Notis *Jo. North.*

[1.] Ἀνωνύμου.] Mirum. *Henricum Stephanum*, qui primus hoc fragmentum in lucem emisit, nè verbo unico præfatum esse unde desumserit: Credo equidem excerptorem aliquem illud Authoris nomine non affixo conservâsse, è majori libro depromptum; etenim Author ipse se de industria non celavit qui nomen suum in Capite quarto intersseruisse videtur, ἐπεὶ τοι καὶ ἐξῆς κεκλήμενος δὲ λέγομαι Μίμας αὖτε, τὸ αὐτὸ μὴν πάντως ἐρέμην, ἀλλ' ἢ μύθου ἐγώ, ἐπεὶ καὶ οἶμι· Mimantis igitur cujusdam sunt hæ dissertationes, etsi tantùm non nobis æquè ac priùs ignoti: nam Virum talem scriptores nunquam memorant quibuscum ego versatus sum. E Sicilia aut Italia oriundum meritò suspicemur, ideóque Pythagoreum etsi Jamblichi Catalogo non repertum, tam quia Dorismo involutus, quàm quòd tam solenni more ac particulari, ἐν τῇ ἐπιδεῖ τοῦ περὶ φιλοσοφίαν, opiniones istas prævalere dixit, quod non facturum puto, si istam patriam suam agnoverat. Antiquum maximè se prodit multis indiciis. Etenim victoriam quam de Athenienſibus & sociis reportârunt Lacedæmonii tanquam novum quid ac recenter acquisitam ponit. καὶ τὰ νῦν (τὰ νεωστὶ lego) πρῶτον ἐπὶ. ἀυτῶν Λακεδαιμονίων νικῆ ἐν ᾧ οἴκουν τὰς Ἀθηναίους καὶ τοὺς συμμάχους —— Hanc si ad' postremam referamus quam tulerunt Lacedæmonii, viz. ad Ægos Potamos obtentam, in Olympiade nonagesima tertia, collocanda est. Tum verò cùm asserat βασιλέα τὸν μέγαν ἔτι καλῶν ὁμοίως διακεῖσθαι τοῖς πλουτοῦσι, constat Persarum imperium nondum everſum, Sed & sophistas etiamtum docentes tradit, & sanè quæ hic affert & contra quæ disputat jejunam ipsorum ἰδιοτικὴν sapiunt & inanes captiunculas quibus adversaries irretire conati sunt.

Digitized by Google

Diss. I. De bono & malo.

[2.] ΔΙΣΣΟΙ λόγοι λέγονται ἐν τῇ Ἑλλάδι ὑπὸ τῶν φιλοσοφούντων περὶ τῶ ἀγαθῶ καὶ τῶ κακῶ. οἱ μὲν γὰρ λέγοντι ὡς ἄλλο μὲν ἐστι τὸ ἀγαθὸν, ἄλλο δὲ, τὸ κακόν· [3.] τοὶ δὲ, ὡς τὸ αὐτό ἐστι,

DUplex fertur in Græcia Philosophorum sententia de bono & malo: Etenim quidam asserunt, aliud planè bonum aliud malum: quidam verò idem utrumq;

[2] δισσοὶ λόγοι.] Eodem sensu usurpavit λόγον Maximus περὶ μὲν δαιμόνων ἀμφισβητὼν λόγον λόγῳ φέρω καὶ ἀνέχομαι τὴν στάσιν· Diss. 1.

[3] τοὶ δὲ ὡς τὸ αὐτό ἐστι.] In quatuor primis Diss. eundem planè modum adhibet Author. De omnibus eadem proponit & simili ratione diluit. Ut igitur ritè intelligatur, hujusce quæstionis Originem altiùs deducam. Heraclitus illud placitum invexit, πάντα ῥεῖν ποτάμου δίκην ut effert Diogenes, Plato autem οἷον ῥεύματα κινεῖσθαι πάντα, qui dein fusiùs explicat in Theæt. ὥς ἄρα ἓν μὲν αὐτὸ καθ' αὑτὸ, οὐδὲν ἔστιν· οὐδ' ἄν τι προσείποις ὀρθῶς οὐδ' ὁποιονοῦν τι, ἀλλ' ἐὰν ὡς μέγα προσαγορεύῃς καὶ σμικρὸν φανεῖται· καὶ ἐὰν βαρὺ, κοῦφον· ξύμπαντά τε οὕτως ὡς μηδενὸς ὄντος ἑνὸς μήτε τινὸς μήτε ὁποιουοῦν. ἐκ δὲ δὴ φορᾶς τε καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα γίγνεται πάντα ἃ δὴ φάμεν εἶναι, οὐκ ὀρθῶς προσαγορεύοντες· ἔστι μὲν γὰρ οὐδέποτ' οὐδὲν, αἰεὶ δὲ γίγνεται. *Unum quippiam ipsum quidem ex seipso nihil esse, neque rectè quiddam aut quale quid nuncupaveris: sed si magnum appellaveris, parvum videtur, si grave leve. Itaque adeò omnia ut neque unum neque quiddam neque quale quicquam sit; at ex latione & motione & mixtione inter se, omnia fiunt quæ existere affirmamus, non recto quidem vocabuli usu. Nihil enim unquam est, semper verò fit.* Hanc sententiam tanto studio complexi sunt plures ut planè in sectam etsi à recentioribus non numeratam transirent, ὡς καὶ αἱρετίστας ἀπ' αὐτοῦ γενέσθαι τοὺς κληθέντας Ἡρακλειτείους ut ait Diogenes, & consentiunt Aristoteles & Plato: qui etiam addit, πολλοῦ καὶ δεῖ φαυλὴ εἶναι ἀλλὰ μὲν περὶ τὴν Ἰωνίαν ἐπιδίδωσι πάμπολυ· οἱ γὰρ τοῦ Ἡρακλείτου ἑταῖροι χορηγοῦσι τούτου τοῦ λόγου μάλα ἐρρωμένως. In partes etiam suas trahebant Homerum eò quòd dixit πάντα ἔκγονα ῥοῆς καὶ κινήσεως in eo versu Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθὺν, nec non Epicharmum, Empedoclem & cæteros, uti referunt Plato in Theæt. Aristoteles in quarto Metaph. Plato ipse ab Heraclito αἰσθητὰ desumpsit, indéque partem alteram celeberrimæ divisionis in Timæo transtulit, τὸ γιγνόμενον μὲν ὂν δ' οὐδέποτε & γιγνόμενον καὶ ἀπολλύμενον, ὄντως δὲ οὐδέποτε ὄν. Eáque de causa ideas suas introduxit nè cùm omnia ità fluunt & dilabuntur, nullâ scientiâ comprehendi possent: Teste Aristot. Metaph. *l.* 11. *c.* 4. συνέβη δ' ἡ περὶ τῶν ἡδῶν δόξα τοῖς εἰποῦσι, διὰ τὸ πεισθῆναι περὶ τῆς ἀληθείας τοῖς Ἡρακλειτείοις λόγοις ὡς πάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων· ὥστ' εἴπερ ἐπιστήμη τινὸς ἔσται καὶ φρονήσις, ἑτέρας δεῖν τινας φύσεις εἶναι παρὰ τὰς αἰσθητὰς, μενούσας· οὐ γὰρ εἶναι τῶν ῥεόντων ἐπιστήμην. Sed mirum in modum, sensum Heracliti adauxit Protagoras, indè corrollarium hoc deducens

Digitized by Google

Accepi ex hominum sermonibus de mariti tui perversitate & amentia, eum cum scorto rem habere, téque id indignè ac molestissimè ferre. Ego verò, amica, multos novi eodem morbi genere ægrotos. Capiuntur enim, ut apparet, ab his mulieribus, atque tenentur, neque quicquam animi possident. At tu dolore cruciaris noctes ac dies, & mœstitiâ conficeris, sempérque aliquid contra ipsum machinaris: cave tu id faxis, uxoris enim virtus non observatio & custodia viri, sed obedientia. Obedientiæ verò est, insaniam perferre & pati, nam cum scorto voluptatis causâ consuetudinem habet, cum uxore utilitatis. Utile est autem malis mala non miscere, neque amentiam amentiâ cumulare. Quædam verò peccata sunt, quæ carpta magìs magíq; irritantur, involuta silentio sedantur & comprimũtur: quemadmodũ ignẽ sensim ac paulatim aiunt extingui. Si

γὰρ

γὰρ βουλόμενόν σε λεληθέναι δοκεῖν, ἐλέγχουσα, ἀφαιρήσῃς τὸ παρακάλυμμα τοῦ πάθους, καὶ φανερῶς ἁμαρτήσεται. σὺ δὲ τὴν φιλίαν ἡγῇ τοῦ ἀνδρὸς οὐκ ἐν τῇ καλοκαγαθίᾳ. τοῦτο γὰρ ἡ χάρις τῆς κοινωνίας. νόμιζε οὖν πρὸς μὲν τὴν ἑταίραν ῥαθυμήσοντα πορεύεσθαι ἐκεῖνον, σοὶ δὲ συμβιώσοντα παρεῖναι· καί σε μὲν φιλεῖν κατὰ γνώμην, ἐκείνην δὲ τῷ πάθει. βραχὺς δὲ ὁ τούτου καιρός. ἅμα γάρ ποτε ἔχει καὶ κόρον, καὶ παρίσταται ταχὺ καὶ παύεται. ὀλιγοχρόνιος γὰρ ὁ καιρός ἐστι πρὸς ἑταίραν ἀνδρὶ μὴ σφόδρα κακῷ. τί γάρ ἐστι ματαιότερον ἐπιθυμίας ἀπολαυούσης ἀδίκου; διὸ καὶ μειῶν τὸν βίον καὶ διαβάλλων τὸ εὔχημον αἰσθήσεταί ποτε. οὐδεὶς γὰρ ἐπιμένει φρονῶν αὐθαιρέτῳ βλάβῃ. καλούμενος οὖν ὑπὸ τῶν πρός σε δικαίων, καὶ τὰς περὶ τὸν βίον ἐλαττώσεις ὁρῶν, αἰσθήσεται ποτέ σου, καὶ τὴν ἀπὸ τῆς καταγνώσεως ὕβριν οὐ φέρων, ταχὺ μεταγνώσεται. σὺ δὲ, φίλη, ζῆθι οὐχ ἑταίραις ἀποκρινομένη, τῇ μὲν εὐταξίᾳ πρὸς τὸν ἄνδρα διαφέρουσα, τῇ δὲ ἐπιμελείᾳ πρὸς τὸν οἶκον, τῇ δὲ συναλλαγῇ περὶ τὰς χρωμένας, τῇ δὲ φιλοστοργίᾳ περὶ τὰ τέκνα. οὐ ζηλοτυπετέον οὖν σοι πρὸς ἐκείνην· πρὸς γὰρ τὰς ἐνναρέτους ἐκτείνειν τὸν ζῆλον, καλόν. ἑαυτὴν δὲ παρεκτέον ἐπιτηδείαν ταῖς διαλλαγαῖς. τὰ γὰρ καλὰ

enim te clam habere vult, & tu carpendo velum crimini detraxeris, palam etiam delinquet, tu verò nè ponas amicitiam mariti in probitate, in hoc enim sita est societatis gratia. Sic igitur persuasum habeas ad scortum quidem libidinis causa eum accedere, tibi ut unà vivat adesse atque te ex animo charam habere, illam tantummodo per libidinem: hæc autem exigui temporis est. Etenim aliquando satiatur, & quemadmodum commovetur subitò, sic statim desinit. Breve namque tempus cum scorto consumit vir non planè malus ac flagitiosus. Quid enim vanius est eâ cupiditate quæ fruitur suo damno? proinde sentiet aliquando, se vitæ commoda diminuere, & famam projicere. Nemo enim sapiens in spontaneo damno permanet: revocatus igitur per jus conjugii quod ei tecum intercedit, & cùm vitæ detrimentum animadvertit, cognoscet aliquando te, & cùm sceleris injuriam pati non potuerit, confestim animum mutabit. Verùm tu amica vitam age nequaquam meretriciæ respondentem, sed modestiâ & probitate erga virum, curâ erga familiam, commercio erga familiares, amore erga liberos, insignem & excellentem. Non debes tu Zelotypiâ contra illam commoveri. Nam ad pudicas & honestas æmulationem dirigere pulchrum est: sed teipsam reconciliationi semper idoneam & aptam præbere. Nam honesti

ἤθη

ἤθη καὶ παρ' ἐχθροῖς εὔνοιαν φέρει, φίλη· καὶ μόνης καλοκαγαθίας ἔργον ἐστὶν ἡ τιμή. ταύτῃ γὰρ καὶ δυνατὸν ἀνδρὸς ἐξουσίαν καθάπερ ἔχειν γυναικὶ, καὶ τιμᾶσθαι πλέον ἢ θεραπεύειν τὸν ἐχθρόν. καταρώμενος οὖν ὑπὸ σοῦ, μᾶλλον αἰσχύνεται· τάχιον δὲ διαλλαγῆναι θελήσει· προσπαθέστερον δὲ φιλοστοργήσει, συνεγνωκὼς τὴν ἀδικίαν τὴν εἰς σὲ, κατανοῶν τε τὴν προσοχὴν ἐπὶ τοῦ βίου, καὶ πεῖραν τῆς στοργῆς λαμβάνων τῆς πρὸς αὐτόν. ὥσπερ δὲ αἱ κακοπάθειαι τοῦ σώματος ἡδείας τὰς ἀναπαύσεις ποιοῦσιν, οὕτως αἱ διαφοραὶ τῶν φίλων οἰκειοτέρας τὰς διαλλαγὰς φέρουσι. σὺ δὲ καὶ τὰ βουλεύματα τοῦ πάθους ἀντίθες. νοσοῦντος γὰρ ἐκείνου, καὶ σὲ παρακαλεῖ νοσεῖν ταῖς λύπαις· καὶ ἁμαρτάνοντος περὶ τὸ εὔσχημον, καὶ σὲ περὶ τὸν κόσμον ἁμαρτάνειν· καὶ καταβλάπτοντος τὸν βίον, καὶ σὲ καταβλάπτει τὸ συμφέρον. ἀφ' ὧν ἐπ' αὐτὸν συντετάχθαι δόξεις, καὶ κολαζομένη ἐκεῖνον καὶ σεαυτὴν κολάζειν. εἰ γὰρ καὶ ἀφεμένη πορεύσῃ, ἑτέρου ἄρα πειραθήσῃ ἀνδρὸς τοῦ προτέρου ἀπαλλαγεῖσα· κἂν ἐκεῖνος ἁμάρτῃ τὰ ὅμοια, πάλιν ἄλλου, οὐ φορητὴ γὰρ νέαις χηρεία. ἢ μόνη μενεῖς ἀπ' ἀνδρὸς οἷόν περ ἄζυξ. ἀλλὰ ἀμελήσεις τοῦ οἴκου, καὶ καταφθερεὶς τὸν ἄνδρα; ἐπωδυνοῦ ἄρα βίου συνδιαιρέσῃ

mores & animi, etiam inimicorum sibi benevolentiam conciliant, amica. Et à sola probitate atque integritate honor proficiscitur. Hâc enim ratione viri quasi copiam habere uxor potest, & in pretio potiùs esse quàm inimicum observare. Sic objurgatus à te, magìs pudore suffunditur, & citiùs redire in gratiam volet. Vehementiùs etiam amabit cùm suam in te injuriam cognoverit & vitæ sanctimoniam præstantiámque animo reputârit, periculúmque tui in se amoris fecerit. Quemadmodum autem afflictionum corporis, jucundus quidam est finis & exitus, sic amicorum controversiæ, in placidiorem gratiorémque reconciliationem desinunt. Tu verò etiam consilia damni inter se contende. Etenim si ægrotet ille, te quoque facit ægrotare mœrore, & si peccaverit in famam, te quoque famæ jacturam facere, & si lædat vitæ commoda, te quoque utilitatem lædere dum cum ipso conjuncta esse videberis, & puniens ipsum te quoque punire. Et etiamsi illum reliqueris, & à priore marito sejuncta ad alterum te applicabis; & si similiter ille deliquerit, rursus ad alium: Non est adolescentibus fœminis tolerabilis viduitas: aut sola perseverabis absque marito quasi cœlebs? at negliges domum & virum perdes? miseræ & acerbæ vitæ simul damnum feres. Sed ulcisceris

τὴν βλάβην. ἀλλ' ἀμυνῇ τὴν

τὴν ἑταίραν; περιστήσεταί σε φυλαττομένη. κἂν ἀμυνῇ, μάχιμός ἐστιν οὐκ ἐρυθριῶσα γυνή. ἀλλὰ καλὸν ὁσημέραι μάχεσθαι πρὸς τὸν ἄνδρα. καὶ τί πλέον; αἱ γὰρ μάχαι καὶ λοιδορίαι τὴν μὲν ἀκολασίαν οὐ παύουσι, τὴν δὲ διαφορὰν ταῖς προκοπαῖς αὔξουσι. τὶ δὲ; βουλεύσῃ τὶ κατ' ἐκείνου; μὴ φίλη. ζηλοτυπίας κρατεῖν ἡ τραγῳδία ἐδίδαξε, δραμάτων ἔχουσα σύνταξιν ἐν οἷς παρηνόμησε Μήδεια. ἀλλ' ὥσπερ τῆς νόσου τῶν ὀφθαλμῶν ἀπέχειν δεῖ τὰς χεῖρας, οὕτω καὶ σὺ τοῦ πάθους χώριζε τὴν προσποίησιν. διαναστερεῦσα γὰρ, θᾶττον τὸ πάθος σβέσεις.

scortum? observabit te nimirum & sic ubi voles ulcisci, pugnax hercle mulier est quæ pudore vacat. At pulchrum est, quotidianas cum marito disceptationes habere? & quid magis? disceptationes enim & jurgia non finem imponunt intemperantiæ, sed inimicitiis incrementum addunt. At aliquod contra ipsum consilium inibis? nè faxis amica. Zelotypiam vincere Tragœdia docet compositionem Dramatum continens, in quibus Medea scelus patravit. Sed quemadmodum ab oculorum ægrotatione cohibendæ sunt manus, ità tu quoque da operam, ut à dolore simulationem abstineas. Etenim patientia & perseverantia, citius damnum extingues.

Περὶ θεραπαινῶν προστασίας ὑποθετική.

ΘΕΑΝΩ ΚΑΛΛΙΣΤΟΙ.

THEANO CALLISTI

de famularum rectione adhortatoria.

ΤΑΙΣ νεωτέραις ὑμῖν ἡ μὲν ἐξουσία παρὰ τῷ νόμου δέδοται τῶν οἰκετῶν ἄρχειν ἅμα τῷ γήμασθαι. ἡ δὲ διδασκαλία παρὰ τῶν πρεσβυτέρων

VObis quidem junioribus à lege datur potestas imperandi famulis simul & nubendi. Disciplina verò à senioribus

ἀπαν-

ἀνωτέρω ὀφείλει περὶ τῆς οἰκονομίας ἀεὶ παρεγγύντων. καλῶς γὰρ ἔχει πρότερον μανθάνειν ἃ μὴ γινώσκεται, ἢ τῷ συμβαλλομένῳ οἰκειότατον ἐν προαιρέσεσιν ἡγεῖσθαι. ἐν τούτοις γὰρ παρθενοτροφεῖσθαι δεῖ νέαν ψυχήν. ἀρχὴ δέ ἐστιν οἰκίας γυναικὸς ἀρχή. ἔστι δ', ὦ φίλη, μέγιστον ἐπὶ δουλείᾳ εὔνοια. αὕτη γὰρ ἂν συναρμόζεσθαι τοῖς σώμασιν ἡ κτῆσις, ἀλλ' ἐξ ὑστέρου γίνεσθαι αὐτῶν οἱ συνεταὶ δοκοῦσι. δίκαιος δ' χρῆσις αὐτίαι τούτου, ἵνα μήτε διὰ τὸν κόπον κάμνωσι, μήτε ἀδυνατῶσι διὰ τὴν ἔνδειαν. εἰσὶ γὰρ ἀνθρώποις τῇ φύσει ἔνιαι δ' κέρδος τὸ ἀπροσδόκητον ἡγήσασθαι, τῷ δὲ δεσπόσουσιν κακκάβαν ἐμφύσασι μὴ τοῖς ἔργοις ὑπεναλλάττεσθαι δ' ἐπιτηδείων. εἶτα ὀβολίσματα κέρδη πέσσοντα, μεγάλοις ζημίαις τιμήσουσι, δυσνοίαις δ' ἐπιβουλαῖς κακίσεις. σοὶ δ' πρόχειρον ἔστω τὸ μέτρημα τῆς σίτου πρὸς τὸν ἀριθμὸν τῆς ἐργασίας τῆς ἐφ' ἡμέρᾳ πόνους. καὶ πρὸς μὲν τὰς δίκαιας, ὅτως πρὸς δ' τὰς ἀπειθείας, τὸ σὸν φέρειν, ἢ τὸ ἐκείνους συμφέρον ἐξυπηρετητέον. τιμᾶν μὲν γὰρ δεῖ δεσπότας κατ' ἀξίαν. τὸ μὲν γὰρ ὠμὸν ἐκ οἴσει τῷ δυμῷ χαίρειν, τὸ δ' μισοπόνηρον ἔχ ἥσσον ὁ λογισμὸς βεβαιοῖ. ἐὰν δ' ἡ ὑπερβολὴ τῆς κακίας τῶν δεσποτῶν ἀνίκητος ᾖ, ἐξο-

proficiſci debet, qui de rectè gubernanda familia ſemper præcepta dent & adhortentur. Bonum eſt enim priùs diſcere, quorum ſis rudis & ignara, atque ſeniorum conſilium prudentiſſimum optimúmque judicare, in his enim inſtitui adoleſcentem virginis animum oportet. Primùm autem in domo mulieribus imperium eſt, imperium famularum. At plurimùm ad ſerviendum poteſt benevolentia. Hâc enim poſſeſſio non unà cum corporibus emitur, ſed eam poſtea pariunt atque comparant prudentes domini: hæc acquiritur juſto uſu, ut neque ob laborem defatigentur, neque ob imbecillitatem deficiant. Etenim humana ſunt natura præditæ. Nonnullæ verò in lucro quæſtuoſiſſimo putant, famularum infirmitatem, eáſque premunt oneribus, & neceſſariis ad vitam rebus privant. Sic dum obuli lucrum faciunt, maximis mulctis afficiuntur, odiis atque inſidiis perniciosiſſimis. Tu verò in promptu habeas menſuram ciborum ad numerum lanitii quam laboribus quotidianis tribuas. Et quod ad victum pertinet hoc modo. Quod ad inobedientiam quantùm te deceat, non quantum illis utile ſit, eſt efficiendum. Etenim objurgare famulas oportet pro dignitate. Crudelitas enim non adferet animo voluptatem. Odium verò malitiæ nihilo minus ratio ſuppeditat. Quòd ſi ſit incredibilis & immota famularum malitia,

Digitized by Google

ἐξοριστέον μετὰ πράσεως. τὸ γὰρ ἀλλότριον τῆς χρείας, ἀλλοτριούσθω καὶ τῆς κυρίας. ἔστω δέ σοι γνώμη τοῦδε πρόεδρος, καθ' ἣν γνώσῃ τὸ μὲν ἀληθὲς τῆς ἁμαρτίας, πρὸς τὸ τῆς καταγνώσεως δίκαιον· τὸ δὲ τῶν ἡμαρτημένων μέγεθος, πρὸς τὸ κατ' ἀξίαν τῆς κολάσεως. δεσποτικὴ δὲ καὶ ἡ γνώμη, χάρις ἐφ' ἡμαρτημένης ζημίας ἀπαλλάττουσα. οὕτω δὲ τὸ πρέπον ἐπὶ τοῦ οἰκείου τρόπου διαφυλάξει. ἔνιαι γὰρ, ὦ φίλη, ὑπ' ὠμότητος καὶ μαστίζουσι τὰ τῶν θεραπαινῶν σώματα, θηριούμεναι διὰ ζῆλον ἢ θυμὸν, οἷς ὑπομνηματογραφούμεναι τὴν ὑπερβολὴν τῆς πικρίας· αἱ μὲν γὰρ ἀνηλώθησαν χρόνῳ διαπονούμεναι, αἱ δὲ φυγῇ τὴν σωτηρίαν ἐπορίσαντο· τινὲς δὲ ἐπαύσαντο τοῦ ζῆν, αὐτόχειρι θανάτῳ μεταστᾶσαι. καὶ λοιπὸν ἡ τῆς δεσποίνης μόνωσις, ὀδυρομένης τὴν οἰκείαν ἀβουλίαν, ἔρημον μετάνοιαν ἔχει. ἀλλ', ὦ φίλη, ἴσθι μιμουμένη τὰ ὄργανα, ἃ φωνεῖ μᾶλλον ἀνειμένα, ἐκρήττεται δὲ μᾶλλον ἐπιτεινόμενα. καὶ γὰρ ἐπὶ τῶν θεραπαινῶν ταυτόν. ἡ μὲν ἄγαν ἄνεσις διαφωνίαν ἐμποιοῦσα τῆς πειθαρχίας, ἡ δὲ ἐπίτασις τῆς ἀνάγκης, διάλυσιν τῆς φύσεως. καὶ ἐπὶ τούτου δεῖ νοεῖν, μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.

exterminanda erit per venditionem. Nam quod alienum est usu, alienetur etiam possessione, in ea verò re consilium sequaris, quo peccati veritatem ad condemnationis æquitatem exigas, delictorum verò magnitudinem ad supplicii dignitatem. Dominarum autem etiam sententia beneficium, si meritam pœnam relinquat & condonet. Ad hunc modum in tuis rebus decorum conservabis. Quædam enim ô amica præ crudelitate verberibus corpora famularum afficiunt, vel æmulatione vel iracundia exasperatæ, quasi prodentes acerbitatis nimiam vehementiam. Quædam enim tempore sunt absumptæ, aliæ sibi fuga salutem quæsiverunt, nonnullæ verò è vita discesserunt, manúque sibimet ipsis mortem attulerunt. Ità in posterum Dominæ solitudo lugentis domesticam imprudentiam ac temeritatem, ad desertam quandam atque desperatam pœnitudinem recidit. Sed ô amica, fac ut imiteris organa quæ remissa nimium sonum reddunt, intenta verò vehementiùs disrumpuntur. Nam eodem omnino modo res cum ancillis habet. Nimia remissio dissonantiam efficit obediendi, intentio verò necessitatis, dissolutionem naturæ, & in eo cogitandum est, μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον· modus in omnibus rebus est optimus.

ΜΕΛΙ'ΣΣΗΣ

ΜΕΛΙ'ΣΣΗΣ 'ΕΠΙΣΤΛΟΗ'.

ΜΕΛΙ'ΣΣΑ ΚΛΑΡΕ'ΤΑ χαίρειν.

MELISSA CLARETÆ *salutem.*

ἈΥΤΟΜΑ'ΤΩΣ ἐμοὶ φαίνῃ πλέονα τῶν καλῶν ἔχειν. τῷ γὰρ ἐσπουδασμένως ἐθέλεν τι ἀκοῦσαι περὶ γυναικὸς εὐκοσμίας, καλὰν ἐλπίδα διδοῖ ὅτι μέλλεις πολιοῦσθαι κατ' ἀρετάν. χρὴ ὦν τὰν σώφρονα καὶ ἐλευθέραν τῷ κατὰ νόμον ἀνδρὶ ποτῆμεν, ἀσυχίᾳ κεκαλλωπισμένᾳ, ἀλλὰ μὴ πολυτελῶς. ἦμεν δὲ τᾷ ἐσθᾶτι λευκοείμονα καὶ καθάριον καὶ ἀφελῆ, ἀλλὰ μὴ πολυτελῆ καὶ περισσάν. παραιτητέον γὰρ αὐτὰν τὰν διαυγῆ καὶ διαπόρφυρον, καὶ τὰ χρυσόπαστα τῶν ἐνδυμάτων. ταῖς ἑταίραις γὰρ τάδε χρήσιμα ποττὰν τῶν πλειόνων θήραν· τᾶς δὲ ποθ' ἕνα τὸν ἴδιον εὐαρεστούσας γυναικὸς κόσμος ὁ τρόπος πέλει, καὶ οὐχ αἱ στολαί. ἔυμορφον γὰρ τὰν ἐλευθέραν ἁδέσθαι τῷ αὐτᾶς ἀνδρὶ, ἀλλ' οὐ τοῖς πλησίον. ἔχοις δ' ἂν ἐπὶ τᾶς ὄψιος ἐρύθημα μὲν σαμεῖον αἰδοῦς, ἀντὶ φύκεος· καλοκἀγαθίαν δὲ καὶ

TUa sponte videris mihi virtutis copia abundare. Nam quòd summoperè cupis aliquid de muliebri decoro audire, id verò bonam spem præbet, te velle cum virtute senescere. Oportet igitur modestam & liberam, viro legitimo modestè ornatam esse, non magnificè, & vestitum quidem candidum, mundum ac tenuem, non autem splendidum ac superfluum gestare. Nam rejiciendæ sunt illæ pellucidæ totæ & purpureæ, & auro intertextæ vestes, quoniam hæ lupas & scorta decent, ut quam plurimos pelliciant atque capiant. Ejus verò mulieris, quæ uni marito placere debet ornatus in moribus ac industria positus est, non in stolis. Decorum est enim & pulchrum liberam uni marito placere, non quibusvis obviis. In vultu autem pudorem ruborémque possis signum verecundiæ loco fuci adhibere. Probitatem verò, modestiam,

κοσμιότητα καὶ σωφροσύναν, ἀντὶ χρυσῶ καὶ σμαράγδω. οὐ γὰρ ἐς τὰν τᾶς ἐσθᾶτος πολυτέλειαν φιλοκαλεῖν δεῖ τὰν γλιχομένᾳν τᾶς σωφροσύνας, ἀλλ' εἰς τὰν οἰκονομίαν τοῦ οἴκου· ἀρέσκειν δὲ τῷ αὐτᾶς ἀνδρὶ ἐπιτελέας ποιεῦσαν τὰς ἐκείνω θελήσιας· αἱ γὰρ τῶ ἀνδρὸς θελήσεις νόμος ὀφείλει ἄγραφος εἶναι κοσμίᾳ γυναικὶ ποθ' ὃν χρὴ βιῶν αὐτάν. νομίζεν δὲ προῖκα ποτενηνέχθαι ἅμα αὐτᾷ καλλίσταν καὶ μεγίσταν, τὰν εὐταξίαν. πιστεύεν γὰρ χρὴ τῷ τᾶς ψυχᾶς κάλλει τε καὶ πλούτω μᾶλλον ἢ τῷ τᾶς ὄψιος καὶ τῶν χρημάτων. τὰ μὲν γὰρ φθόνος καὶ νοῦσος παραιρέεται, τὰ δὲ μέχρι θανάτω παρέντι ἐντεταγμένα.

& ingenuitatem, pro auro & smaragdo. non enim in vestium magnificentia pulchritudinis amantem esse oportet, quæ studet modestiæ: sed in domûs reíque familiaris administratione, & mariti favorem ejus voluntati morem gerendo, conciliare. Voluntas enim mariti, pro lege non scripta debet esse honestæ mulieri, ad quam ei vita est exhibenda, putandúmque se dotem aliquando secum pulcherrimam & amplissimam attulisse obedientiam & integritatem. Magìs enim animi pulchritudini atque opibus, quàm formæ pecuniarúmque credendum est, hæc enim invidiâ morbóque eripiuntur. Illa verò usque ad supremum diem insita permanent ac præstò sunt.

ΜΥΙΑΣ ἘΠΙΣΤΟΛΗ'.

ΜΥΙ'Α ΦΥ'ΛΛΙΔΙ

χαίρειν.

MYIA PHILLIDI

salutem.

ΓΕΝΟΜΕ'ΝΑΙ τοι ματρὶ παίδων τάδε παραινέω. τιθόαν μὲν ἐκλέξασθαι τὰν ἐπιτηδειοτάταν καὶ καθάριον,

CUm mater liberorum facta sis, hæc te moneo, ut nutricem deligas aptissimam atque mundam,

ἔτι

ἔτι δὲ καὶ αἰδήμονα, καὶ μὴ ὕπνῳ προσοικειουμένην, μηδὲ μὰν μέθᾳ. ἁ τοιάδε γὰρ ἂν κρίνοιτο κράτιστα ποττὸ ἐκτρέφεν ἐλευθέρως παῖδας, ἐάν γε δὴ γάλα τρόφιμον ἔχῃ, καὶ μὴ ταῖς πρὸς ἄνδρα κοίταις εὐνίκατος πέλῃ· μεγάλα γὰρ μέρος ἐν τῷδε καὶ πρώτα καὶ προκαταρκτικωτέρα ἐς ὅλαν τὰν βιοτὰν πέλει ἐν τᾷ τρεφοίσᾳ, ποττῶ καλοῦ τραφῆμεν. ποιήσει γὰρ πάντα καλὰ ἐν τῷ ποτεοικότι καιρῷ. τὸν τιτθόν τε καὶ μαζὸν καὶ τροφὰν δόμεν, μὴ καττὸ ἐπενθὸν, ἀλλὰ μετά τινος προνοίας. οὕτω γὰρ ἐς ὑγίειαν ἄξει τὸ βρέφος. μὴ ὅτε αὐτὰ θέλει καθεῦδεν, νικῆται, ἀλλ' ὁπόταν τὸ νεογνὸν ἀναπαύσιος ἔρον ἔχει. οὐ μικρὸν γὰρ ἄκος τῷ παιδὶ προσοίσει. ἔστω δὲ μητ' ὀργίλα τιθανὰ, μήτε πρόγλωσσος μήτε ἐν ταῖς τῶν σιτίων λήψεσιν ἀδιάφορος, ἀλλὰ τεταγμένα καὶ σώφρων. δυνατῶν δὲ ὄντων, μὴ βάρβαρος, ἀλλὰ Ἑλληνίς. ἄριστον ἐὰν καὶ τοῦ γάλακτος χρηστῶς πιμπλάμενον τὸ νεογνὸν, οὕτως ἐς ὕπνον τρέπηται. ἁδεῖα γὰρ νέοις ἄνεσις καὶ εὐκατέργαστος ἁ τοιάδε σίτασις. αἰ δέ κα χ' ἀτέραν δόμεν χρὴ, ἁπλουστάταν. οἴνω δὲ τοπαράπαν ἀπέχεσθαι, τῷ δύναμιν ἰσχυρὰν ἔχειν, ἢ καττὸ σπάνιον μεταδιδόμεν τᾷ κράσει δείελον γαλακτῶδες. τὰ δὲ λουτρὰ μὴ ποιεῖν συνεχῆ. ἁ γὰρ τῶν σπανίων καὶ εὐκράτων χρᾶσις, ἀμείνων. κατταυτὰ δὲ καὶ ἀὴρ ἐπιτάδειος

præterea verecundam & somno non deditam, neque temulentiæ, talis enim optima ac præstantissima judicatur, ad pueros ingenuè & liberaliter educandos, si lac ad alendum idoneum habeat, & ut cum viro concumbat impelli nullo modo possit, magna enim pars in hoc & prima & evidentissima ad totam vitam posita est in nutrice, præter rectam nutritionem. Faciet enim omnia suo & opportuno tempore, ut pupillam mammámque & nutrimentum non temere cùm in mentem venit, præbeat: sed cum cura & prudentia. Sic enim valetudinem infantis confirmabit, ut non illi collibitum est somnum capiat, sed cùm infantem quiescendi desiderium incessit. Non enim exiguam puero sanitatem adferet. Neque verò iracunda sit nutrix, neque balba, neque in sumendo cibo nullam rationem aut discrimen adhibens, sed composita & moderata. Item ex potentibus non Barbara sed Græca. Optimum verò, si probè lacte impletus infans, ad somnum convertatur. Jucunda est enim junioribus remissio, & ejusmodi cibi facilis concoctio. Quòd si alius etiam dandus est, is sit simplicissimus. Vino autem prorsus abstinendum est, quoniam fortiorem vim habet, aut quòd rarò admittat temperaturam crepusculum lacteum Balnea verò non sunt continuanda, nam rarorum, eorúmq; bene paratorum usus, melior est. In ipsis verò sit aer idoneus

θάλπους καὶ ῥίγους ἔχων τὰν συμμετρίαν. καὶ οἴκησις δὲ μήτε ἄγαν περιπνεομένα μήτε ἄγαν κατάστεγνος. οὐ μὰν ἀλλὰ καὶ ὕδωρ μήτε ἀπόσκληρον μήτε εὐπαράγωγον. καὶ στρωμνὰ δὲ οὐ τραχεῖα, ἀλλὰ προσπίπτουσα τῷ χρωτὶ εὐαρμόστως. ἐν πᾶσι γὰρ τούτοις τὸ οἰκεῖον ἁ φύσις ἐπιποθεῖ, ἀλλ' οὐ τὸ πολυτελές. ταῦτα μὲν ὧν ἐπὶ τοῦ παρόντος οὐκ ἀχρεῖον ὑπογράψαι τοι τὰς ἐλπίδος ἐκτροφὰς ἢ κατ᾽ τὸν ὑφαγεόμενον γινομένας, θεῷ δὲ συλλαμβάνοντος ὑπὸ τᾶς ἀγωγᾶς τῷ παιδὸς αὖθις, τὰς ἐνδεχομένας καί ποτε οἰκείας κομιοῦμες ὑπομνάσεις.

ex frigoris & caloris justa proportione constans; & habitatio, neque nimium flatibus obvia, neque nimium tecta. Sed & aqua neque dura neque mollis. Et strata non aspera, sed quæ concinnè sint ad corpus apta. In omnibus enim his suam quandam vim natura requirit, non magnificentiam. Hæc igitur in præsentia non ab re fuit tibi præscribere spei nutritiones, quippe ad præeuntis arbitrium accommodatas: Deo verò juvante de pueri educatione, quas poterimus etiam aliquando proprias adferemus admonitiones.

ΤΕ'ΛΟΣ.

FINIS.

Digitized by Google

ΗΛΙΟΔΩΡΟΥ ΛΑΡΙΣΣΑΙΟΥ ΚΑΙΦΑΛΑΙΑ ΤΩΝ ΟΠΤΙΚΩΝ.

HELIODORI LARISSÆI CAPITA OPTICORUM.

Ad Hetruſci codicis fidem Græcè & Latinè edita & recenſita.

Ex Bibliotheca Fr. Lindenbrogi.

CANTABRIGIÆ:
Ex Officina J. Hayes, Celeberrimæ Academiæ Typographi,
Impenſis Joann. Creed, Bibliopolæ Cantab. 1670.

Digitized by Google

Digitized by Google

ΗΛΙΟΔΩΡΟΥ ΛΑΡΙΣΣΑΙΟΥ

Κεφάλαια τῶν ὀπτικῶν.

Ὅτι προβολῆς τινὸς ἀφ' ἡμῶν γενομένης, ἐπιβάλλομεν τοῖς ὁρωμένοις.

Ὅτι τοῦτο τὸ προβαλλόμενον ἀφ' ἡμῶν, φῶς ἐστιν.

Ὅτι τὸ προβαλλόμενον φῶς ἐπ' εὐθείας φέρεται.

Ὅτι καὶ ἐν σχήματι κωνικῷ.

Ὅτι καὶ ἐν ὀρθογωνίῳ φέρεται τῷ κώνῳ.

Ὅτι ὁ τῆς ὄψεως κῶνος οὐκ ἐστὶ πλήρης ὁμοίου φωτός.

Ὅτι τὰ ὁρώμενα κατ' ὀρθὰς, ἢ κατ' ὀξείας ὁρᾶται γωνίας.

Διὰ τὶ τὰ ὑπὸ μείζονος γωνίας ὁρώμενα, μείζονα φαίνεται.

Ὅτι τῷ περὶ τὸν ἄξονα τοῦ κώνου φωτὶ μάλιστα καθορῶμεν.

Ὅτι ἡ ὀπτικὴ δύναμις πρὸς τὰ ἔμπροσθεν μάλιστα πέφυκεν ἐνεργεῖν.

Ὅτι ἡ τοῦ τῆς ὄψεως κώνου κορυφὴ, ἐντὸς ἐστὶ τῆς κόρης, καὶ κέντρον ἐστὶ σφαίρας, εἰπερ τεταρτημόριον ἀποτέμνεται ὁ κύκλος τῆς κόρης.

HELIODORI LARISSÆI

Capita opticorum.

Quadam à nobis projectione ea, quæ sub aspectum cadunt, attingimus.

Id quod projicitur, atque emittitur à nobis, lux est.

Quæ à nobis emittitur lux, rectà fertur.

Atque in coni figura.

Item in cono fertur rectangulo.

Aspectûs nostri conus simili luce plenus non est.

Ea quæ cernuntur, aut rectis angulis intuemur, aut acutis.

Cur ea, quæ sub majori cernuntur angulo, majora videntur.

Eo lumine, quod circa coni axem est, maximè contuemur.

Cernendi vis ac facultas, in iis maximè, quæ ante sunt, munus suum exequitur.

Vertex coni visûs nostri intra pupillam est, & est sphæræ centrum; quandoquidem tetartemorion abscindit pupillæ circulus.

Ὅτι τὰ ὁρώμενα, ἢ κατ' ἰθυφάνειαν ὁρᾶται, ἢ κατὰ ἀνάκλασιν, ἢ κατὰ διάκλασιν τῆς ὄψεως τῆς ἡμετέρας.

Quæ adspiciuntur, aut cernuntur directo, aut visûs nostri vel refractione, vel diffractione.

ΠΕΡΙ τῆς πρὸς ἥλιον ὁμοιότητος, τῆς ἡμετέρας ὄψεως.

DE similitudine quæ visui nostro est cum sole.

Ὅτι κλωμένη ἡμετέρα ὄψις, ἴσας ποιεῖ γωνίας τὰς, πρὸς ὃ κλᾶται. Ὁμοίως δὲ καὶ αἱ ἀκτῖνες αἱ τοῦ ἡλίου, καὶ τὰ ἑξῆς.

Cùm frangitur visus noster, pares facit angulos ad id, ubi frangitur. Itémque radii solis.

Ὅτι μὲν οὖν προβολῆς τινὸς ἀφ' ἡμῶν ἐπιβάλλομεν τοῖς ὁρωμένοις, δηλοῖ καὶ τὸ τῶν ὀφθαλμῶν σχῆμα οὐ κοῖλον, οὐδὲ πρὸς ὑποδοχὴν τινὸς πεποιημένον, ὥσπερ τὰ τῶν ἄλλων αἰσθητηρίων, ἀλλὰ σφαιροειδὲς ὑπάρχον.

Projectione itaque à nobis ea, quæ cernuntur, nos attingere, oculorum figura declarat, non cava, neque ad aliquid recipiendum facta, ut reliquorum sensuum, sed orbiculata & rotunda.

Ὅτι δὲ τοῦτο τὸ προβαλλόμενον ἀφ' ἡμῶν φῶς ἐστὶν, αἵτ' ἀπολάμπουσαι τῶν ὀμμάτων δηλοῦσι μαρμαρυγαί. καὶ τὸ, τινὰς καὶ νύκτωρ ὁρᾶν, οὐδὲν τοῦ ἔξωθεν προσδεομένους φωτὸς (ὥσπερ οὐδὲ τὰ νυκτίνομα τῶν ζωων) οἷος ἐκεῖνος ὁ Τιβέριος γέγονεν ὁ Ῥωμαίων βασιλεύς. Τῶν δὲ νυκτινόμων ζώων τὰ ὄμματα, καὶ ἐκλάμποντα φαίνεται νύκτωρ δίκην πυρός.

Id autem quod emittitur lucem esse, argumento est oculorum fulgor ac splendor: quodque nonnulli noctu etiam cernant, nullo extrinsecus lumine indigentes: (ut & ea animantia, quæ noctu pascuntur) ut Tiberius ille Romanorum Imperator. Noctivagorum autem animantium oculi per noctem in morem ignis effulgent.

Ἀλλ' ὅτι μὲν φωτὸς προβολῇ τοῖς ὁρατοῖς ἐπιβάλλομεν, δῆλον μὲν καὶ ἐκ τούτων. ἔτι δὲ σαφέστερον ἔσται, ἐπειδὰν τὴν πρὸς ἥλιον ὁμοιότητα τῆς ἡμετέρας ὄψεως παραστήσαιμεν.

Ejecto ergo & emisso lumine nos ea contingere, quæ adspicimus, ex his satis perspicuum est: apertiùs verò tunc cognoscetur, cùm solis & aspectûs nostri similitudinem exposuerimus.

Ὅτι δὲ τὸ προβαλλόμενον τοῦτο ἀφ' ἡμῶν (ὃ δὴ καὶ ἔθος ὄψιν καλεῖν) ἐπ' εὐθύτε φέρεται, καὶ ἐν σχήματι κώνου ὀρθογωνίου. καὶ ὁ,

Atque id, quod à nobis emittitur, quódq; solemus visum appellare, rectà ferri & coni rectanguli figurâ,

τε

τε Πτολεμαῖος δι' ὀργάνων ἀπέδειξεν, ἐν τῇ αὐτοῦ Ὀπτικῇ πραγματείᾳ. Ἔνεστι δὴ καὶ λόγῳ θεωρῆσαι.

Εἰ γὰρ μέλλει τάχιστα ἡ ὄψις πρὸς τὸ ὁρατὸν ἀφικνεῖσθαι, ἐπ' εὐθείας ἐνεχθήσεται. Αὕτη γὰρ πασῶν ἐλαχίστη γραμμῶν, αἱ τὰ αὐτὰ πέρατα ἔχουσιν. Καὶ αὖ πάλιν, εἰ μέλλει ὡς ἐνδέχεται πλεῖστον ὄπλήψεσθαι τῆς ὁρωμένης, κατὰ κύκλον αὐτῷ ἐμβαλεῖ. Οὕτω γὰρ πρὸς ὑπόπεδον καὶ ἰσομέτρων αὐτῷ σχημάτων πολυχωρέστατον ἀποδέδεικται.

Δεῖ δὲ τὴν ὄψιν καὶ ταχέως ἐμβάλλειν τοῖς ὁρατοῖς, καὶ ὡς ἐνδέχεται πλεῖστον ἐκάστου θεωρεῖν μέρος. Λυσιτελεῖ γὰρ ταῦτα τῷ ζώῳ. Πᾶν γὰρ ὅσῳπερ λυσιτελές τε καὶ ἀγαθόν ἐστι τοῖς ζώοις, ἡ φύσις ἀσπάζεται, καὶ θέλει ποιεῖν. ὥστε κατὰ τὸν εἰκότα λόγον, ἡ ὄψις ἐπ' εὐθείας ἐνεχθήσεται, καὶ κατὰ κύκλον ἐμβαλεῖ τοῖς ὁρωμένοις.

Οὕτω δὲ φερομένη, καὶ ὅπως ἐμβάλλουσα τοῖς ὁρατοῖς, ἤτοι κυλινδρικὸν, ἢ κωνικὸν ἕξει τὸ σχῆμα, εἴγε δὴ καὶ τετράμβολον ἔχει, ὥσπερ ἦν εὔλογον ἔχειν.

Ἀλλὰ μὴν κυλινδρικὸν οὐκ ἔχει. ἐ γὰρ ἂν ἐδύνατο τοῖς μείζοσι τῆς κόρης μεγέθεσιν ἀθρόως ἐμβάλλειν, καὶ πρὸς τούτῳ ἅπαντά τε ἅμα ὁλάτε ὁρωμένα ἐδήλει αὐτῇ ἴσα καὶ μεγέθη. κωνικὸν ἄρα ἔχει τὸ σχῆμα. Οὕτω

cùm Ptolemæus in optices explicatione organis demonstravit, tum ratione ostendi, & intelligi potest.

Ut enim visus noster quàm citissimè eo, quod sub aspectum cadit, perveniat, rectà feratur necesse est: propterea quòd hæc linearum omnium, quæ eosdem fines habeant, est minima. Ad hæc, ut ejus, quod adspicitur, quàm plurimum oculi percipiant, eo se conjiciunt in orbem: nam hanc figuram omnium, quæ planæ sunt, & quæ isometræ, amplissimam esse & capacissimam demonstratum est.

Adspectum autem nostrum oportet & celeriter videnda consequi, & ex his quàm plurimum extemplo intueri: ità enim animanti expedit. Quæ verò animantibus conferunt, & quæ bona & utilia sunt, amplecti natura & comparare solet. Quare optimâ ratione visus & rectà meabit, & in orbem, ad ea quæ intuenda sint, contendet.

Quæ cùm ità se habeant, aut cylindri habebit figuram, aut coni, cùm extensam aut porrectam habeat, talem enim habere, rationi consentaneum est.

Hæc verò cylindricam non habet: non enim eas res, quæ pupillâ majores essent, statim assequeretur; præterea quæ conspiciuntur, pari magnitudini esse oculis viderentur. Quamobrem coni figuram habeat necesse est. Cùm

Digitized by Google

δὲ ἔχουσα, καὶ τοῖς διαφόροις μεγέθεσι τῶν ὁρωμένων, οἷα τ' ἐστὶ διαφέρουσι κατὰ τὸ μέγεθος ἐπιβάλλειν τῆς αὐτῆς βάσει.

Ὅτι μὲν οὖν τὸ τῆς ὄψεως σχῆμα, κῶνος ἐστὶν, οὕτως ἄντις τῷ λόγῳ κατασκευάσειεν.

Ὅτι δὲ καὶ ὀρθογώνιος κῶνος ὁρισμένος τῷ εἴδει (εἶδος γὰρ ἐστὶν εἰδικώτατον, ὥσπερ οὖν καὶ ἡ ὀρθὴ γωνία) δῆλον. Οἱ δὲ ἀμβλυγώνιοί τε καὶ ὀξυγώνιοι, ἀόριστοι κατὰ τὸ εἶδος ὑπάρχουσιν, ἐπείπερ καὶ αἱ τοιαῦται τῶν γωνιῶν, τὸ μᾶλλον τε καὶ ἧττον εἰς ἄπειρα ἐπιδέχονται. Ἡ δὲ φύσις τὸ ὁρισμένον πρὸ τοῦ ἀορίστου ἐθέλει ποιεῖν, ὡς ἂν ἄμεινον, καὶ οὐκ ἥκιστα λογικοῦ ζώου ἁρμόττον φύσει. ὥστε κατάγε τὸ εὔλογον ὀρθογώνιος ἔσται ὁ τῆς ὄψεως κῶνος. Τούτῳ δὲ καὶ τὰ φαινόμενα συμφωνεῖ. Τοῦτε γὰρ οὐρανοῦ σφαιροειδοῦς ὄντος, τεταρτημόριον ἅμα ὁρῶμεν, καὶ δὴ καὶ τῆς τοῦ ὁρίζοντος περιφερείας τὸ αὐτὸ βλέπομεν μέρος. Ἐὰν δὲ κύκλου τινὸς ἐντὸς, καὶ πρὸς τῇ περιφερείᾳ γενόμενοι, ἡμικύκλιον ἅμα ὅλον ὀψόμεθα. Ταῦτα δὲ οὐκ ἂν ποτὲ οὕτω συνέβαινεν, εἴγε μὴ ὀρθογώνιος ἦν ὁ τῆς ὄψεως κῶνος.

Ἀλλὰ πρὸς τὸ τοῦ στοιχείου τοῦ λέγοντος, ΟΥΔΕΝ ΤΩΝ ΟΡΩΜΕΝΩΝ ΑΜΑ ΟΛΟΝ ΟΡΑΤΑΙ, ἡμεῖς εἴπωμεν, ὅτι δὴ καὶ τεταρτημόριον τοῦ οὐρανοῦ ἅμα ὅλον ὁρᾶται.

autem ità habeat, ea quæ dispari magnitudine sint, contemplatione potest adipisci.

Visum itaque figurâ coni esse, his rationibus confirmari potest.

Conus autem est rectangulus, specie definitus: species enim est infima, ut est rectus angulus. Qui verò obtusis sunt angulis, aut acutis, incerti sunt, nec finiti specie: quoniam tales anguli augeri, minui, specie denique innumerabiles esse possunt. Natura autem id, quod sit finitum, tanquam præstantius & maximè ad animal ratione utens accommodatum, ei quod infinitum sit, solet anteferre. Itaque rationi consentaneum est, rectum angulum esse aspectûs conum; atque id etiam phænomena ipsa confirmant. Cœlum enim cùm rotundum sit, ejus tetartemorion uno obtutu conspicimus: & eandem cernimus partem ambitûs Horizontis. Intra autem circulum aliquem & in ejus circuitu collocati, totum semicirculum unà contuebimur. Quæ minimè ità evenirent, si non rectis angulis esset visûs nostri conus.

Quod autem ait Euclides NIHIL EORUM QUÆ CERNUNTUR, UNA TOTUM VIDETUR, responderi potest: Cœli tetartemorion in oculos universum incurrere.

Ἰστέον

Ἰςέον τοίνυν, ὡς ὅτε μὲν ὁλοσχερῶς ἐπιβάλλομεν τοῖς ὁρωμένοις, ὅτε δὲ κατὰ τὸ ἐνδεύομενον ἀκριβές.

Ὁλοσχερῶς μὲν ἀκριβῶς τι ὁρᾷν πάντα ἅπτα τοῦ μέρη ἐπιπορευθῆναι, τὰ μεταξὺ τῶν ἀπὸ τοῦ ὄμματος φερομένων ἀκτίνων παρεμπεσόντα. Καὶ ὁ ἀδὴ ἔλαθεν ἡμᾶς ἀναγκαίως κατὰ τὴν πρώτην ἐπιβολήν, ταῦτα τῶν ὄψεων ἐπιδρομῇ θεασόμεθα.

Γινώσκειν γὰρ δεῖ, ὅτι τὸ κωνικὸν τοῦτο, καὶ φωτοειδὲς τῆς ὄψεως σχῆμα, διὰ τῶν ἀδήλων πόρων τῆς κόρης φερόμενον, σχίζεται ἐξ ἀνάγκης εἰς κεχωρισμένας μὲν ἀλλήλων ἀκτίνας· συναγκαζούσας δὲ ἅπαντα τὸν μεταξὺ αὐτῶν τόπον, τοῦτ' ἐστὶν, ὅλου τοῦ κύκλου τὸ βάθος.

Ὁρᾶται δὲ τὰ ὁρώμενα ἤτοι κατ' ὀρθὰς γωνίας, ἢ κατ' ὀξείας, κατὰ δὲ ἀμβλείας οὐδέποτε. Συνίστανται γὰρ αἱ γωνίαι, κατ' ἃς ὁρῶμεν, πρὸς αὐτῇ τῇ κορυφῇ τοῦ τῆς ὄψεως κώνου. Καὶ αἱ μὲν ὀρθαὶ ἐπὶ διαμέτρων βεβήκασι τῆς βάσεως τοῦ κώνου. αἱ δὲ ὀξεῖαι, ἐπὶ τινῶν εὐθείων, αἱ εἰσὶ καὶ αὐταὶ ἐν τῇ βάσει τοῦ κώνου ἐλαττούμεναι τῆς διαμέτρου· ἤτοι δὲ ἁρμόζουσαι εἰς τὸν κύκλον, ἢ οὔ.

Αἰεὶ τὰ ὑπὸ μείζονος γωνίας ὁρώμενα, μείζονα φαίνεται. πλείονι

Sciendum igitur est, nos ea quæ tuemur aliquando universim assequi, aliquando videndi subtilitate minimè absoluta.

Universim quidem una conspici res affirmamus: subtiliter verò nihil plané. Etenim ut subtiliter aliquid contemplemur, omnes ejus partes prosequamur oportet, quæ inter radios ab oculis prodeuntes occurrunt: ac quæ primum obtutum necessario effugerunt, hæc oculorum percursu repetita conspicimus.

Intelligi enim oportet, conicam hanc, & luci cognatam aspectûs figuram, per obscuras pupillæ vias permeantem scindi in radios, qui necessario quidem alii ab aliis separati sint, ut concipiant, & complectantur totum, qui inter eos intercedit locum: id est, circuli universi profunditatem.

Quæ autem adspiciuntur, aut rectis cernuntur angulis, aut acutis: at obtusis nunquam. Quibus enim obtuemur angulis, ad ipsum verticem coni adspectûs nostri coeunt. Ac recti quidem in diametro consistunt basis ipsius coni: acuti verò in rectis quibusdam lineis, quæ sunt ipsæ quoque in basi coni, at diametro minores: quæque aut congruant ad circulum, aut non congruant.

Quæ majori angulo cernuntur, apparent majora: copiosiore

γῦ αὐτῆς ἐπιβάλλομεν τῷ φωτί. Ἐκεῖνο δὲ οἶμαι, καὶ βραχὺ ἐπιστήσαντι δῆλον ἂν γένοιτο· ὅτι τῷ περὶ τὸν ἄξονα τῆς ὄψεως φωτὶ μάλιστά πως δοκοῦμεν ὁρᾶν. Ἐὰν οὖν ὁρᾶσθαί τι ἀκριβῶς ἐθελέσομεν, ἐπιστρέφομεν οὕτω τὴν ὄψιν, ὥστε κατὰ αὐτὸ τὸ μεσώτατον τοῦ τῆς ὄψεως κώνου προβάλλειν τῷ ὁρωμένῳ. Διάτοι τοῦτο καὶ ῥαφίδος, εἰ τύχοι, παρακειμένης τινὸς, προβάλλοντες τὴν ὄψιν ἐπὶ τὸν τόπον, ἐν ᾧ κειμένη τυγχάνει, οὐχ ὁρῶμεν αὐτὴν, ἕως ἂν κατὰ τὸν ἄξονά πως, ἢ κατὰ τοὺς περὶ αὐτὸν ἀκτῖνας αὐτῇ ἐπιβάλλομεν. Τοῦτο δὲ αἴτιον, ὅτι ἡ ὀπτικὴ δύναμις μάλιστά πως εἰς τοὔμπροσθεν τὴν ἐνέργειαν ἔχει. Εἰς δὲ πλάγια οὐχ ὁμοίως πέφυκεν. Πρόσω τοίνυν κατὰ φύσιν στασάντων ἡμῶν τὸ τῆς ὄψεως σχῆμα, ἀκριβῶς μὲν πρόσω ὁ ἄξων ἂν εἴη τοῦ κώνου, συνεγγὺς δὲ, αἱ τοῦτῳ πλησιάζουσαι ἀκτῖνες τῆς ὄψεως. Αἱ γὰρ τοι λοιπαὶ ἄνω τε καὶ κάτω, καὶ εἰς τὰ πλάγια φέρονται. Οὕτω δὲ ἔτι πρόσω πέφυκεν ἡ ὀπτικὴ δύναμις, ὥστε τὰ κατόπιν, ἢ ὅλως τὰ μὴ ἔμπροσθεν ἡμῶν κείμενα εἰ ἐν κατόπτρῳ θεωροῦμεν τινὶ, πρόσω εἶναι ταῦτα φαντάζεται, κἂν τοῖς ἐνοπτρίζουσιν ἐνυπάρχειν αὐτά.

enim luce ad ea contendimus. Hoc autem qui vel paululum considerabit, apertè intelliget. nam eâ luce maximè, quæ in visûs axe est, res quasque contemplari videmur. Quòd si quid accuratè & subtiliter intueri velimus, ità convertimus aciem, ut per mediam maximè & intimam aspectûs coni partem res ipsas tuendo consequamur. Quo fit ut si qua oculis objecta sit acus, atque obtutum in eo loco, ubi posita est, defixerimus, eam non discernamus, quoad per axem aut per eos, qui circa axem sunt, radios attenti legamus. Atque idcirco fit, quod cernendi facultas ad ea maximè, quæ anteposita sunt, contendatur: obliqua verò non perinde percipiat. Itaque si in anteriorem partem, naturam sequentes, aciem dirigamus, penitus quidem ante axis coni erit: ei verò propinqui reliqui radii, sursum, deorsum in dexteriorem & sinisteriorem partem ferentur. Atque adeò cernendi vis hanc naturam habet, ut si ea, quæ à tergo sunt, atque omnino ante nos non sunt sita, proposito speculo contemplemur ea tamen esse ante nos videantur, & in iis esse, qui in speculum inspiciant.

Δῆλον

Δῆλον δὲ, ὅτι ἡ τῆς ὄψεως κῶνος κορυφὴ οὐκ ὄζιν ἐπὶ τῆς τῆ ὀφθαλμῆ κόρης. ἐ γὰ ἂν ποτὲ ἀπὸ παντὸς τόπε τῆς κόρης ἐωρώμθ, ἀλλ' ὄζιν ἐντὸς κ ἐν τῷ τῆ ὀφθαλμῆ βάθει. Βάσις δ' ὄζι τῆ κῶνε ἡ πρώτη, καὶ ἐλαχίση ὁ κύκλ, ὃν πέρας ὄζιν ἡ τῷ κόρῳ περιγεάφεσα περιφάνεια. Αὕτη γὰ τοι ἡ κόρη, οὐ κύκλ, ἀλλὰ τῆς τεταρτημορίε σφαίρας ὄζιν ἐπιφάνεια· εἴπερ ὀρθογώνι ὄζιν ὁ τῆς ὄψεως κῶν, ὡς ἐδείξαμθ.

Ἐπιβάλλομθ δὲ τοῖς ὁρωμένοις, ἤτοι κατ' εὐθυωρίαν ἀκλάσε μθύσης μέχρι καὶ τῶν ὁρωμένων τῆς φερομένης ὄψεως, ἢ κεκλασμένης ἤδη. Οἷον ὅτε εἰς ὕδωρ ἐνορῶμεν. Τῷ μὲν τῆ ὕδατ ὑπφαίνειαν κατ' εὐθὺ, κ ἀκλάσε φερομένης τῆς ὄψεως θεωρῦμεν. τὰ δὲ κθ' ὕδατ νηχόμενα, ἢ κ κείμενα, φερίδης μθ ἤδη τῆς ὄψεως εἰς τὸ βάθ, ὁρῶμεν, ἢ ἀνακεκλωμθύης μθότοι ἀπὸ τῆς αὐτῆ καταγείσεως.

Ἐαν γᾶν εἰς ἀγγεῖόν τι ἐνὸν οὐχ ὁρᾶται, τῆ αὐτῆ ἀποσήματ ὄντ, ἐαν ὕδωρ χεθῇ, ὀφθήσεται τὸ ἐμβληθὲν, ὃ μὴ πρότερον εἶχ ἑωρᾶτο. Οὕτω δὴ τὰ κθ' ὕδατ θεωρῦμεν. Τῶν δ' ἐγγὺ ἔξω τῆ ὕδατ ὑπφανείας,

Perspicuum autem est, verticem coni aspectus nostri in oculi pupilla non esse: neque enim ab omni pupillæ parte cerneremus, verùm intra eam est, & in intimo oculo. Basis verò coni prima ac minima circulus is est, cujus extremum est ea, quæ pupillam concludit & circumscribit superficies. Nam ipsa quidem pupilla, non circulus, sed superficies est quartæ partis sphæræ, siquidem rectangulus est visus nostri conus.

Ea autem, quæ à nobis prospiciuntur, attingimus aut directo progressu, infracto obtutu manente ad eorum usque, quæ cernimus, metam: aut etiam obtutu fracto. Nam cum in aquam inspicimus, summam quidem aquam contemplamur dejecta, nec fracta oculorum acie. At quæ in aqua natant, aut in ea sita sunt, cùm intuemur, progreditur quidem in profundum aspectus, at ipso renixu aquæ refringitur.

Quod si quid, quod in vase sit, non videatur, cum aquam id vas habebit, quod injectum fuerit, quodque priùs non cernebatur, eodem intervallo apparebit: atque ità quæ in aqua sunt, cernimus. Earum verò rerum, quæ extra aquæ superficiem sunt,

κθ'

Digitized by Google

καὶ λέγειν δὲ ἔθος τοῖς παλαιοῖς, ὅσα μὲν δι' ἀέρος καὶ ἀκλάστου φερομένης τῆς ὄψεως θεωροῦμεν, ταῦτα κατ' ἰθυφανὲς πᾶν θεωρεῖται. Ὧν δὲ τὰς ἐμφάσεις θεωροῦμεν ὡς ὕδατι, ἢ ὅλως ἐν κατόπτρῳ, ταῦτα κατ' ἀντιφάνειαν ὁρᾶται. τὰ δὲ καθ' ὕδατος, ἢ διὰ διαφανῶν θεωρούμενα * . . . .

(& veteres consueverunt dicere,) quæcunque per aërem, & infracto manente visu aspicimus, hæc conspiciuntur per rectam apparentiam. Quorum verò imagines in aqua, aut omnino in speculo, hæc videri per antiphaniam: at quæ per aquam, cæterásque res perlucidas aspicimus * . . . .

Τὴν δὲ εἰρημένην τῆς ὄψεως ἐπ' εὐθειάν τε φορὰν καὶ ἀνάκλασιν, καὶ προσέτι τὴν ἐπὶ πλεῖστον αὐτῆς τε καὶ ἄχρονον πρόοδον, ταῦτα δὴ πάντα ὁρᾶν ἔξεστιν, καὶ ἐπὶ τῶν τοῦ ἡλίου ἀκτίνων συμβαίνοντα. ὡς κἀντεῦθεν βεβαιοῦσθαι πῶς, τὰ καθ' ἀρχὰς εἰρημένα ἡμῖν.

Et hunc aspectus nostri & porrectum motum inflexum, & quam longissimum subitúmque progressum, in solis quoque radiis evenire videri potest. Ut indè, quæ à principio diximus confirmentur.

Ὅτι δὴ φῶς πρόεισιν ἀπὸ τῶν ἡμετέρων ὀμμάτων, εἴγε ταῦτα πάθη ἐπί τε τῆς ἡμετέρας ὄψεως, κἀπὶ τοῦ ἡλιακοῦ συμβαίνει φωτός. Ὅσον μὲν γὰρ διάστημα τὸ ἡλιακὸν ἀποτείνηται φῶς, ἀρχόμενον μὲν ἀπ' αὐτῆς τοῦ ἡλίου τῆς σφαίρας, προιὸν δὲ μέχρι γῆς, καὶ τῶν ταύτης μυχῶν, τοσοῦτον καὶ ἡ ἡμετέρα ὄψις προιέναι δόξειεν, ὅταν γε πρὸς τὰ οὐράνια βλέπομεν. Καὶ αὖ πάλιν, ὥσπερ ἡ τῆς ἡμετέρας ὄψεως πρόοδος ἀχρόνως ἐπιτελεῖσθαι δοκεῖ, οὕτω καὶ ἡ τοῦ ἡλιακοῦ φωτὸς ἐπέκτασις ἀχρόνως γενέσθαι δόξειεν.

Ac lucem quidem ab oculis nostris prodire, ex eo intelligere possumus, quod eam contingere videmus in aspectu nostro, & solis luce. Quantum enim solare lumen porrigitur ab ipso solis orbe profectum, & ad terram usque progrediens ultimósque ejus recessus, tantum oculorum nostrorum acies, cùm cœlum intuemur, procedere videtur. Præterea & aspectus nostri, & solaris luminis progressum fieri puncto temporis apparet.

Ὅνπερ

Ὅταν γὰρ τρόπον νέφος ἐπιπροσθῇ ἡμῖν, εἶτα ἢ παραλάξαντος, αὐτίκα καὶ ἀθρόως ἡμῖν δοκεῖ τὸ ἡλιακὸν φῶς ἐπιβάλλειν. ἕτως ἡμεῖς ἀναβλέψαντες μόνον, εὐθέως βάλλομεν πρὸ ὄψιν τοῖς ἐφεστηκόσιν.

Ἀλλὰ γὰρ δι' ὅλων σωμάτων διακλωμένας τε καὶ φερομένας ὁρῶμεν τὰς ἀφηλίους ἀκτῖνας, οἷον δι' ὕδατος, ὑάλου, ἢ κέρατός γε, ἢ τῶν τοιούτων τινός, διὰ τέτων γὰρ πρὸ ὄψιν συμβαίνει χωρεῖν, καὶ ἀνακλᾶσθαι δὲ ἀπ' αὐτῆς, τό τε ἡλιακὸν φῶς, καὶ πρὸ ὄψιν συμβαίνει, γὰρ πρὸς ἴσας γε τέτο παρέχειν γωνίας. Δῆλον δὲ τέτο ἐντεῦθεν. Ἐὰν γὰρ ἀνακλάσεως ὄσης ἡλιακῶν ἀκτίνων ἀφ' ὕδατος, ἢ ὅλως ἀπό τινος ἧς, ὅσα πυκνά ὄντα γὰρ λεῖα, κατανοήσωμεν ἕτω τὸ ἡμέτερον ὄμμα, ὡς εἶναι μὲν αὐτὸ ἐν ταῖς ἀνακλασθείσαις ἀκτῖσιν, ὁρᾶν δὲ πρὸς τὸν τοῦ ὕδατος τόπον, ἀφ' οὗ ἀνεκλάσθησαν αἱ τοῦ ἡλίου ἀκτῖνες, ὀφόμεθα ὡς ἐν κατόπτρῳ, τῷ ὕδατι ἡλιακὸν κύκλον, ἐφαρμαζόσων διλογόπ τῶν τῆς ὄψεως ἀκτίνων ταῖς τοῦ ἡλίου ἀκτῖσι, διὰ τὸ πρὸς ἴσας τε γὰρ αὐτὰς ἀνακλᾶσθαι γωνίας.

Καὶ ἡ ἀνάκλασις δὲ, ὡς

Nam quemadmodum nobis obstante nube, deinde prætereunte, confestim & in ipso temporis articulo, solis lumine attingimur & colluſtramur: ità nos ſurſum verſus modo contuentes, ſtatim in cœlum oculos conjicimus.

Ad hoc per quæ corpora ſolares radios & ferri & perfringi videmus, ut per aquam, per vitrum, per cornu, & cætera hujuſmodi, per hæc oculorum aciem permeare contingit, & ab eiſdem tum ſolare lumen, tum aſpectum noſtrum frangi, idque ad angulos æquales. Quod ex eo intelligi poteſt. Quod ſi ab aqua, aut alio quovis eorum, quæ denſa & levia ſunt, radiorum ſolis ſit refractio, nóſque ità oculos ſtatuamus, ut in refractis ſint radiis, & in eum aquæ locum diſpiciant, unde refracti radii ſunt, orbem ſolis in aqua, tanquam in ſpeculo conſpiciemus; congruentibus videlicet & inter ſe aptis & reſpondentibus viſus noſtri radiis, & radiis ſolis, quod ad æquales & eoſdem angulos refringantur.

Quæ quidem reflexio, ut

ὕστερον

ὕστερον ἀποδείξομεν, ὁμοία φαίνεται γινομένη, ἐπί τε τῆς ἡμετέρας ὄψεως, καὶ ἐπὶ τῶν ἡλιακῶν ἀκτίνων. Ἀλλὰ καὶ τὸ χρωννῦσθαι πῶς ἀπὸ τούτων πρὸς ἅπερ ἀνακλῶνται ἢ διακλῶνται· συμβαίνει μὲν τῷ τοῦ ἡλίου φωτὶ, συμβαίνει δὲ καὶ τῇ ἡμετέρᾳ ὄψει, ὡς ἐπιφαίνεσθαι ὁμοίως τοῖς οὔτωτε ὑφ' ἡμῶν ὁρωμένοις, οὕτω δὲ ὑφ' ἡλίου καταλαμπομένοις. Εἰ γὰρ ἀνίσχων ὁ ἥλιος, ἢ δυόμενος διά τινος ἐρυθροῦ διαλάμπει νέφους, ὁρᾶν ἐστὶν ἅπαντα φοινικὰ, καὶ γὴν καὶ θάλατταν, καὶ ἁπλῶς ὅσα ἂν καταλάμπει. Τούτοις δὴ παραπλήσια καὶ παρὰ τὴν ἡμετέραν ὄψιν ἐστὶ θεωρῆσαι. Ὁποῖον γὰρ ἂν τύχοι τὸ τοῦ διαφανοῦς χρῶμα, τοιουτόχρουν καὶ τὸ δι' αὐτοῦ φαινόμενον δόξειεν ἂν ὁρᾶν.

Καὶ αὖ πάλιν εἴτις λαβὼν ἔνοπτρον ὁποιονοῦν τῷ χρώματι πρὸς αὐτὸ θεωρῇ πάντα τὰ ἐν αὐτῷ ἐμφαινόμενα ὁμόχροα τῷ ἐνόπτρῳ φαινεῖται. τῆς ὄψεως δηλονότι πρὸς τὰ ὁρώμενα ἀνακλωμένης, καὶ τὸ τοῦ ἐνόπτρου χρῶμα ἐπιφερούσης αὐτῆς. Ταῦτα δὲ συμβαίνειν φάμεν ἐπί τε τῆς ἡμετέρας ὄψεως, καὶ τῶν ἡλιακῶν ἀκτίνων. Ἐὰν δὲ ἡ ἀνάκλασις ἀπ' ἀργυρῶν τινῶν γίνεται τῶν ἐνόπτρων, ἢ ἀπὸ καθαρῶν καὶ ἠρεμούντων ὑδάτων, οὐδὲν ἀποφέρεται χρῶμα, οὔτε τὸ ἡλιακὸν φῶς,

postea ostendemus; similis in obtutu nostro fieri videtur, atque in radiis solis. Quinetiam & solis luci, & aspectui nostro contingit, ut ab iis colorem quodammodo ducant, à quibus aut franguntur, aut reflectuntur, ut similitudo intercedat cum iis, quæ tum prospiciuntur à nobis, tum à sole lustrantur. Si enim aut oriens sol, aut occidens per rubram aliquam nubem effulgeat, & terra, & mare, & cætera denique quæ solis splendore fulgescunt, purpurea omnia videbuntur: quod æquè in obtuendo evenire, considerare quivis potest. Nam quali medium perlucidum colore sit, quod per id prospicitur, eundem colorem videbitur habere.

Itaque siquis sumptum quovis colore speculum contempletur, quæ in eo apparent, omnia ejusdem coloris esse videbuntur, refracta videlicet & reflexa acie: ac speculi colorem ad ea, quæ apparent, perferente. Atque hæc tum in aspectu nostro, tum in radiis solis evenire dicimus. Quod si ab argenteis quibusdam speculis fit refractio, aut à lympidis placidisque & quietis aquis, nullum ab iis colorem vel solaris lux trahit,

οὔθ'

οὐθ' ἡμετέρα ὄψις, ὡς ἂν ἀχρυστέρων πῶς ὄντων. Διὸ καὶ τοιαῦτα εἶναι τὰ χρώματα δοκεῖ, οἷα ἂν ἀπὸ τοιούτων, ἢ διὰ τοιούτων κλώμεναι ἀκτῖνες προσβάλλωσιν, ὁποῖα ἂν καὶ κατ' ἀληθείαν ὑπάρχει.

Ἐξ ἁπάντων δὴ τούτων, οὐκ ἔστιν ὅστις οἶμαι αἰσχυνθείη λέγων, φῶς τι ἀπὸ τῶν ἡμετέρων ὀμμάτων προϊέναι, οὕτως ἄφθονον τὴν πρὸς ἥλιον ὁμοιότητα τῆς ἡμετέρας ὄψεως θεωρήσας. Πλάτων δὲ ὁ μέγας, καὶ ἡλιοειδέστατον ἔφατο εἶναι τὴν ὄψιν τῶν περὶ τὰς αἰσθήσεις ὀργάνων. Εἰδέναι δεῖ, ὅτι αἱ ἀνακλάσεις αὗται καὶ διακλάσεις τῆς ὄψεως, οὐκ ἀτάκτως ἐπιτελοῦνται. Πρὸς γὰρ ἴσας γίνονται γωνίας ἀεὶ, αἱ δὴ καὶ συνίστανται πρὸς ἐκεῖνο, ἀφ' οὗπερ καὶ ἀνακλῶνται, ἢ διακλῶνται. Ἀπέδειξε γὰρ ὁ μηχανικὸς Ἥρων, ἐν τοῖς αὐτοῦ κατοπτρικοῖς, ὅτι αἱ πρὸς ἴσας γωνίας κλωμέναι εὐθεῖαι ἐλάχισταί εἰσι μέσων, τῶν ἀπὸ τῆς αὐτῆς καὶ ὁμοιομεροῦς γραμμῆς πρὸς τὰ αὐτὰ κλωμένων πρὸς ἀνίσους γωνίας. Τοῦτο δὲ ἀποδείξας φησὶν, ὅτι εἰ μὴ μέλλοι ἡ φύσις μάτην περιάγειν τὴν ἡμετέραν ὄψιν, πρὸς ἴσας αὐτὴν ἀνακλάσει γωνίας. ὡμοίως δὲ δειχθήσεται, ὅτι καὶ ἡ διάκλασις τῆς ὄψεως τῆς ἡμετέρας, πρὸς ἴσας ἐπιτελεῖται γωνίας. Ἐκ δὲ τούτου φανερὸν, ὡς καὶ αἱ τοῦ ἡλίου ἀκτῖνες πρὸς ἴσας κλῶνται γωνίας.

vel aspectus noster, quippe coloris quodammodo sunt expertia. Ea igitur, in quæ incidunt radii, qui ab hujusmodi rebus colore carentibus, aut per eas franguntur, suum verúmque eorum colorem videbuntur habere.

Quæ cùm ità sint, neminem opinor affirmare pudeat, ab oculis nostris lucem prodire, cùm tam luculentam aspectui nostro esse videat similitudinem cum sole, & conjunctionem. Magnus quidem Plato ex omnibus sensuum instrumentis visum esse dixit solis simillimum, ejúsque speciem atque imaginem imprimis referre. Scire autem convenit has vel refractiones visus, vel perfractiones, non effici nulla certa ratione, aut ordine. Ad æquales enim fiunt angulos: qui quidem coëunt, unde vel refringuntur, vel perfringuntur. Etenim demonstravit mechanicus Hero in Catoptricis, quæ ad æquales angulos franguntur rectæ, minimas esse omnium, quæ ab eadem similiúmque partium linea sunt, & ad eadem franguntur ad impares angulos. Quo demonstrato, Natura, inquit, si frustra nostrum aspectum circumactura non est, ad æquales angulos visus perfractionem esse. Ex quo perspicuum est, solis quoque radios ad angulos æquales frangi.

Ὁυ

Οὐ γὰρ πῦ τῇ ἡμετέρᾳ ὄψει ἐν ἰσότητι τοῦτο συμβαίνειν δεῖ λέγειν, ταῖς δὲ τοῦ ἡλίου ἀκτῖσι, χτὶ τὸ ἄνισον καὶ ἄτακτον. Ἀποδείξαμεν δὲ κἂν τοῖς ἔμπροσθεν, ὑπίγε τῶν ἀνακλάσεων ἴσας συνίστασθαι γωνίας, ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων ταῖς τῆς ἡμετέρας ὄψεως, ἥτις ἀποδέδεικται, πρὸς ἴσας κλᾶσθαι γωνίας.

Neque enim dici oportet, visui nostro hoc in æqualitate contingere: solis radiis, sine æquabilitate atque ordine. Ac supra docuimus, in refractionibus æquales à solaribus radiis confluere & constare angulos, angulis visus nostri; quem ad æquales angulos frangi demonstratum est.

ΤΕ'ΛΟΣ.

FINIS.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

PRINCETON U.

Digitized by Google

Digitized by Google

PRINCETON U.

32101 073248468

Digitized by Google

Digitized by Google

Digitized by Google